



ΠΟΛΥΒΙΟΥ
ΑΠΠΙΑΝΟΥ ΑΛΕΞΑΝΔΡΕΩΣ
ΚΑΙ ΗΡΩΔΙΑΝΟΥ

ΕΚΛΕΚΤΑ

Ἠθικὰ, Πολιτικὰ, Στρατιωτικὰ, Ἱστορικά.



POLYBII
APPIANI ALEXANDRINI
ET HERODIANI


LOCA SELECTA

Ad Mores, ad Rempublicam, ad Militiam,
& Hiſtoriam pertinentia

OPERA ET STUDIO

N. N. MONACHI BENEDICTINI

E Congregatione Caſinenſi.



ROMAE MDCCLXXXIII.

PER ANTONIUM FULGONIUM
PRAESIDUM FACULTATE.

„ Ὥσπερ τὴν μέλιτταν ὁρῶμεν ἐφ' ἅπαντα μὲν τὰ
„ βλαστήματα καθιζάνουσαν, ἀφ' ἑκάστου δὲ τὰ
„ χρήσιμα λαμβάνουσαν, οὕτω χρὴ καὶ τοὺς παι-
„ δείας ὀρεγομένους μηδενὸς μὲν ἀπείρως ἔχειν,
„ πανταχόθεν δὲ τὰ χρήσιμα συλλέγειν. „

Ἰσοκρ. ἐν τῷ πρὸς Δημο. λόγῳ.

„ Ut apem videmus omnibus germinibus in-
„ ſidere, atque e ſingulis, quod utile eſt,
„ decerpere: ita diſciplinae appetentes
„ oportet, nullius quidem rei ſcientia,
„ peritiaque carere: undique vero ea,
„ quae profutura ſint, colligere. „

Iſocr. in Orat. ad Demon.

ΠΡΟΟΙΜΙΟΝ.

Ἐπεὶ πάντες οἱ ἄνθρωποι ἐξ ἀβουλίας τε, καὶ ἀφροσύνης πολλὰ δὴ ἁμαρτάνουσι, καὶ σφάλλονται, καὶ πᾶσιν εὐκταῖόν ἐστιν, ὡς πρόχειρον ἔχειν πώς τι, ὅθεν ἐπωφελεῖς, καὶ ἁρμοζούσας ταῖς τύχαις αὐτῶν, καὶ πράγμασι βουλάς, λόγους τ' ἀπολάβωσι. Τοῦτο δὲ ἢ τῶν αὐτοῖς ποτε πράγμασι, καὶ συντυχίαις κεχρημένων ἐπαγγελίαις, καὶ νουθετήμασιν ἡμῖν προσγίνεσθαι πέφυκεν, ἢ τῶν παλαιῶν συγγραφέων ἐξ ἀναγνώσεως· ἐν οἷσπερ ὑποθῆκαι τινες, καὶ γνῶμαι, ἑκάστοις που τῶν καιρῶν, καὶ πραγμάτων ἐπιτήδειοι, διαγεγραμμέναι τυγχάνουσι. Καὶ μὴν τῶν συμβουλευμάτων ἐκεῖνα δὴ μᾶλλον ἰσχύει, ὡς εἰκός τε, καὶ ἀνθρωπίνοις θυμοῖς βαθύτερον ἐντυποῦται, ἅτιν' ἀγχίνοι δή, καὶ πραγματικοὶ ἄνδρες παρόντες ἐνστάζουσιν· ἐπεί γ' ἐκεῖνα, ὡς πεπνυμένα δή, καὶ ἔμψυχα, εἰς τὸ πεῖσαι ἐνεργεῖ μᾶλλον, καὶ οἷον ἀκμάζει· ἄλλως γ' εἰδότα, παρ' οἷς συμβουλευόμενος τύχῃ πού τις, αὐτοῖς, ἢ καὶ χαλεπωτέροις ἑκάστοτε πράγμασι κεχρῆσθαι τῶν σφετέρων, σὺν τῷ Θεῷ δὲ ἀπαλλαγέντας εὐτυχῶς· καθὼς τῶν κυβερνητήρων τούτοις ἀδεῶς, ἀσμένως τε τὸν οἴακα, καὶ τοῦ πλοῦ λόγον πάν-

PROOEMIUM.

CUM ſaepe, multumque homines ex imprudentia, & inopia conſilii in errorem, ac fraudem impellantur, illud cuique maxime optandum eſt, ut aliquid in promptu habeat, unde perutiles rationes, atque conſilia, fortunae ſuae, rebuſque conſentanea, mutuari poſſit. Id autem vel eorum ex praeceptis, ac monitis obvenire ſolet, qui iiſdem in negotiis, & caſibus, in quibus noſmetipſi laboramus, ſunt aliquando verſati, aut veterum Scriptorum ex lectione: in quibus documenta, atque ſententiae, ad omne fere tempus, & negotium aptae, expreſſae reperiuntur. Ac profecto ea conſilia valent plurimum, & altius imprimuntur hominum animis, quae viri, ingenio, ac rerum uſu praeſtantes, coram nobis inſtillant: cum illa, tanquam viva, & animata, maiorem quandam vim ad perſuadendum afferant: praeſertim vero, ſi illud noveris, hoſce, quos conſulis, iiſdem, aut etiam difficilioribus negotiis, ac temporibus feliciter eſſe perfunctos, quam ea ſint, in quibus tute verſeris. Namque vel iis vectoribus gu-

πάντα ἐπιτρέπομεν, οἵ τινες πλεῖστοις δὴ, καὶ σφοδροτέροις περιτυχόντες κλύδωσι, σῶαν ἐκεῖθεν, ἀβλαβῆτε ναῦν ἐξαγαγεῖν ἠδυνήθησαν. Οὐ μὴν ἀλλὰ τοιαύτας συμβουλὰς καὶ σπανίως ζητοῦμεν, ὅτι πλεῖστ' ἀπαξιοῦντες ὧν κατ' ἰδίαν αὐτοὶ εὐπορεῖν προσποιούμεθα, ταῦτ' αἰτεῖν δήποτε, καὶ δέχεσθαι παρ' ἄλλων· καὶ γὰρ ἕκαστοι προθυμούμεθα τῶν πλησίον φρονεῖν μᾶλλον, καὶ σοφώτεροι εἶναι δοκεῖν· τὸ δ' ἀληθὲς οὐχ ἕτοιμοι, καὶ ὡς ὑπόγυιοι ἡμῖν εἰσιν, ὧν ἀσφαλῶς δὴ εὐβουλίαις χρήσασθαι, καὶ μεθ' ὧν περὶ τῶν ἐπειγόντων, καὶ ἐνισταμένων πραγμάτων διωκώμεθα, ὡς καθ' ἑαυτοὺς αὐτοὶ, συμφερόντως βουλεύσασθαι· καὶ ταῦτα ἐν τοιαύτῃ δὴ, καὶ τηλικαύτῃ πιστῶν θ' ἅμα, καὶ φρονίμων ἀνθρώπων ἀπορίᾳ. Ὑπόλοιπος οὖν ὁ δεύτερος πλοῦς, τό πως ἐντυχόντας τοῖς τῶν παλαιῶν ὑπομνήμασιν. οἵ τινες, αὐτοὶ πραγματικοὶ, καὶ εὐφυεῖς ἤδη ἄνδρες ὑπάρχοντες, πολλὰ νουνεχῶς, καὶ ποικίλα διὰ χρόνου μετεχειρίσαντο, ἢ παρὰ τῶν μεταχειρισαμένων ἤδη παραλαβόντες, εἰς σφῶν τε αὐτῶν παιδείαν, καὶ τῶν αὐτοῖς προσηκόντων ἐξέδοσαν· οἷς δὴ τὰ εἰρημένα πείραγε τῶν κεχρημένων πολλὴ, συχνός τε χρόνος ἐδοκίμασεν· ἐκεῖθεν ἀναβάλλοντα ταῖς ἡμετέραις τύχαις, καὶ πράγμασι βουλὰς, καὶ προστάγματα ἐκζητεῖν. Ἀλλὰ, πλὴν ὅτι δὴ πλεῖστοι διὰ τὸ τῶν ἰσορρουμένων μη-

bernacula, ac totius cursus dirigendi rationem secure, ac libenter committimus, qui plures, ac graviores viderint tempestates, atque ex iis salvam navem, & incolumem in portum invehere potuerint. Verumtamen ab his consilia & raro petuntur: quod dedignentur fere homines, quibus ipsi abundare velint, haec quaerere, & accipere ab aliis: (singulis vero illud insitum est, ut sibi plus caeteris sapere, & acutius cernere videantur); & revera non semper praesto sunt (in tanta praesertim hominum penuria, qui fidem cum prudentia coniunctam habeant), quibuscum tutò conferre consilia, ac de instantibus negotiis, ut nobiscum ipsi, necessarias, & utiles rationes inirè possimus. Alterum igitur reliquum est, ut veterum Scriptorum monumenta perlegentes, qui aut ipsi, propter peritiam, & ingenii praestantiam, multa, ac varia, diuturno temporis spatio, negotia feliciter gessere, aut, cum accepissent ab his, qui in iisdem gerendis fuerant versati, ad suam, ceterorumque, quos ad se pertinere intelligebant, disciplinam, & institutionem, eadem ipsa litteris mandarunt, inde rebus, ac fortunis nostris consilia opportuna, atque praecepta conquiramus. Verum, ut illud omit-

μῆκος αὖ, καὶ μέγεθος τὴν ἀνάγνωσιν ταύτην, καὶ προσοχὴν ἀποτρέπονται, κἀκεῖνο δὴ τοῖς πράγμασι δυσχερὲς, καὶ ἄκαιρον γίγνεται, τὸ, ὡς ἕκαστον ἐπιπέσῃ καιροῦ, καὶ πράγματος, τὰ ἐνθάδε, κἀκεῖσε διεσπαρμένα θηρᾶν, καὶ ἀνερευνᾷν· ἄλλως γε δήπου, ἐὰν τὰ τῶν πρακτέων ἐπείγοντα ἀναφορὰν, καὶ βραδυτῆτα μὴ συγχωρήσωσι. Διὸ τῶν ἐλλογίμων ἀνδρῶν οὐκ ὀλίγοι ἐφίλησαν λεκτὰς γνώμας, καὶ ἀποφθέγματα πανταχόθεν φρονίμων ἐκ συγγραφέων συναθροῖσαι, καὶ ὥσπερ πολυανθοῦς ἐκ λειμῶνος κεῖνα, ῥόδα, καὶ ναρκίσσους δρεψάμενοι, θημῶνας ὑποθηκῶν τινὰς ἀνασοιβάσαι· ὅθεν ἕκαστοι τῶν ἐντυχόντων τὰ αὐτοῖς ἐπιτήδεια ἐκλέξαντες, συμφερόντως παιδεύεσθαι τοῖς οἰκείοισί τε, καὶ δημοσίοις πράγμασιν. Οὐκ ἄλλως Ἰσοκράτης ἐν τῷ πρὸς Δημόνικον λόγῳ συνέδησε πολλὰ, καὶ συνέταξεν, ἱκανὰ δὴ καλοῦ, κἀγαθοῦ ἀνδρὸς, αὐτοῦ δὲ ἰδιωτεύοντος, θυμὸν σωφρονῆσαι, καὶ εὐθῦναι τὸν βίον· ἐν δὲ τῷ πρὸς Νικοκλέα, βασιλέα τῆς Αἰγύπτου, τὸν αὐτὸν τρόπον ἀθρόοις γ' ἀποφθέγμασι, πανταχόθεν εἰς ἓν συνεσκεκομισμένοις, τὰ τῷ χρηστῷ βασιλεῖ ἀνήκοντα ἐξηγεῖται, καὶ ὁποῖόν τινα χρὴ εἶναι τὸν ἐπὶ πολλῷ χρόνον κύριον πραγμάτων εἶναι βουλόμενον, καὶ τοῖς ἀρχομένοις ἀγαπᾶσθαι, ἐκδηλοῖ. Τῷ δ' Ἰσοκράτει ἐφε-

ἐφε-

tam, plerosque ab his legendis Operum prolixitate, ac magnitudine deterreri, vel illud incommodum, & importunum rebus accidit: ut cum inciderit temporis,negotiique aliquid, ea, qua hac illac dispersa,ac disseminata sunt, exquiramus, & indagemus: praesertim si, quae instant, negotia, moram illam, ac tarditatem minime perferant. Quocirca illud a sapientioribus viris factitatum est, ut prudentium scriptorum acute dicta, & lectas sententías undique coacervarent unum in locum: ac tanquã ex viridario quodam, variis ad speciem floribus distincto, lilia, rosas, narcissos decerperent, atque inde quosdam sententiarum acervos construerent: e quibus singuli, quae sibi apta forent, ac consentanea, deligerent; atque inde utiliter, convenienterque privatis suis rebus, & publicis instruerentur. Haud aliter Isocrates in ea Oratione, quam ad Demonicum scripsit, multa congessit,atque connexuit loca, quae ad privati civis, eiusdem vero boni, & honesti viri, animum moderandum, ac dirigendum pertinerent: & in altera, quae ad Nicoclem, Aegypti Regem, scripta est, eodem modo crebris, ac frequentibus sententiis, undique collatis unum in locum, boni Regis partes, & officia complectitur:

ἐφεπόμενοι, καὶ μιμησάμενοι τὴν ἐκείνου προαίρεσιν οἱ καθ' ἡμᾶς συχνοί πως ἄλλοι, λεκτὰς ἐπιφανῶν ἐκ συγγραφέων ὑποστάσεις, καὶ ἀποφθέγματα, παντοίαις τοῦ βίου ἀνθρωπίνου χρείαις προσηκόντως ἔχοντα, ἐκδοῦναι οὐκ ἐπαύσαντο· ὧν κἀγὼ μετιὼν, ὅσον ἐπ' ἐμοί ἐστι, τὰ ἴχνη, λεκτὰς Πολυβίου γνώμας, καὶ ὑποθήκας συναθροίσαι ἤδη ἔκρινα, καὶ ὡς συνδεδεμένας εἰς μέσον προθέσθαι, ἵνα καὶ τοῖς ἄλλοις, εἴπερ οἷόν τε, τὰ ἡμῖν ἐκπεπονημένα συμφέρῃ. Διεῖλον δὲ αὐτὰς τέσσαρας εἰς τάξεις· ὡς δηλονότι ἑκάστων ὑπόθεσις, καὶ ἀκολουθία ἐδόκει που ζητεῖν. Ἐν τῇ μὲν πρώτῃ διέταξα τὰ ἠθικὰ, ἐν δὲ τῇ δευτέρᾳ τὰ ἀναφοράν που εἰς πολιτείαν ἔχοντα· τῇ τρίτῃ προσένειμα τὰ στρατιωτικά· τῇ δὲ τετάρτῃ τὰ τῆς Ἱστορίας νόμους, λόγους τ' ἄλλους περιέχοντα. Οἷς δὲ τούτων ἔδοξεν, ὑποθέσεις, καὶ σχόλια πρὸς ἐκδήλωσιν, καὶ σαφήνειαν ὑπέπλεξα· ἤτε λαβὼν ἐκεῖνα ἐξ αὐτοῦ Πολυβίου, ἤτε ἐκ συγγραφέων, οἵτινες παρόμοια δὴ τῷ Πολυβίῳ ἑκάστοτ' ἀπεφήναντο, ἄλλων· ὥστε τὸν ἐντυχόντα εὐμαρῶς κατανοήσειν, τίνος αὖ χάριν ἕκαστον εἴρηται, καὶ πρὸς τί τῷ Πολυβίῳ· οὗ δὴ χωρὶς ἀμαυρὴ, καὶ ὡς κωφὴ ἡ γνώμη γένοιτο. Τί δὲ χρὴ πλείοσι τοῦ Πολυβίου τούτων ἐν ἑκάστοις τὸ ἀκριβὲς, καὶ φρόνιμον ἐγκωμιάζειν; συνελόντι μέντοι ἐκεῖνο εἰπεῖν ἐστι· τὴν χρηστότητα, εὐνομίαν τε,

ἧς

ctitur: qualisque debeat esse ille, qui & Imperium diu tueri velit, & his, quibus praeest, charus esse, ostendit. Cuius propositum sequuti, & imitati alii plures, vel hac aetate nostra, ex claris Scriptoribus selectas sententias, atque dicta, ad varios humanae vitae usus accomodata, edere non destiterunt. Horum itaque vestigiis,& ipse pro virili insistens, animum induxi, lectas Polybii sententias congerere atque unum in volumen colligatas proferre; quo vel caeteris noster hic labor aliquid prodesse possit. Eas vero quatuor in partes, ut singularum argumentum, & ordo postulare videbatur, censui dispertiendas; quarum in prima ea digessi, quae pertinent ad mores instituendos: in secunda, quaecumque ad Rerump. administrationem spectare visa sunt: tertiae vero illa attribui, quae ad militiam: & quartae, quae ad historiam, sive eius leges, rationesque alias referuntur. Atque ut his maius lumen, ac perspicuitas accederet, scholia, & argumenta subtexui, sive ex Polybio ipso, sive ex Scriptoribus aliis; qui eadem fere, ac Polybius, edocuerant, decerpta: ut cuius rei causa quodque scriptum sit, & quem ad finem referatur, legentes possint agnoscere: quo sublato

ἧς αὐτὸς εἴληχε τῆς φύσεως, δὶ ἣν γ' οὐχ ὅτι τῶν Ῥωμαίων πολλοῖς, καὶ τούτοις τῶν προὐχόντων οὖσιν, ὡς Σκιπίωνι, καὶ τούτου δὴ ὁμήλικι, τῷ Λαιλίῳ, ἀλλὰ καὶ βασιλεῦσι δυνάσταις τε πλείοσιν ἤθ' Ἑλλήνων, ἤτ' Αἰγυπτίων, ἄλλων τε κατ' ἀνατολὰς ἐθνῶν φίλος τε, καὶ συνήθης διὰ βίου γέγονεν, ὥστε τὴν ταύτην καὶ ἐν οἷς ἀπέλιπεν ὑπομνήμασιν, ἀποφάσεων ἰσονομίᾳ, ἐπιεικείαις τ' ἄλλαις, ἐντυπωθεῖσαν ἐκδήλως καταλιπεῖν. Ὡς δ' αὐτὸς ἐπιστήμων, δέξιός τ' ἀνὴρ τὴν τα δημόσια σωφρόνως, λυσιτελῶς τε διοικεῖν, ἐκεῖθέν ἐστι καταμαθεῖν, ὅτι ἐκ τῆς τοῦ Πατρὸς αὐτοῦ Λυκόρτου, ἀνδρὸς τῶν ἐν τοῖς Ἕλλησιν, ὡς οἷόν τε, πολιτικωτάτου, συντροφῆς, καὶ παιδείας ἐπιστήμην, ἣν μακραῖς ἄλλοι δὴ πείραις κινδύνοις τε κατασκευάζειν εἰώθασι, καὶ προσκτᾶσθαι, οἰκεῖαν αὐτὸς, καὶ ὡς ξύμφυτον εἶχε. Τῶν δὲ πολεμικῶν ἐμπειρίαν οὐκ ἀεργὸς οἴκοι, ἢ ἐξ ἀκοῆς που παραλαβὼν περιεποιήσατο, ὡς πλεῖστοι τῶν συγγραφέων, ἢ δὴ ἐν βιβλιοθήκῃ τινὶ ἐντυχὼν τοῖς ἀλλοτρίοις ὑπομνήμασιν· ἀλλ' αὐτὸς μετὰ τῶν ἐμπείρων, ἐπισήμων τε στρατηγῶν κινδυνεύων, καὶ παρὼν ταῖς πράξεσιν· ὥστ' ἐκεῖνον τὴν πολεμικὴν ἐπιστήμην οὐχ οἷον θεωρήσαντα κατανοῆσαι, ἀλλὰ καὶ πεῖραν αὐτῆς, αἴσθησίν τε παρόντα καταλαβεῖν. Καὶ μὲν τῷ Σκιπίωνι, τῷ τὴν Καρχηδόνα ἐξελόντι, οὐχ

ὅπως

blato obſcura ſaepius, & muta quodammodo tota ſententia evaderet. Quid vero opus eſt, ut Polybii in hiſce ſingulis accuratam, prudentemque diligentiam, ac peritiam laudibus efferam? Illud tamen ſummatim liceat dicere: eam naturae bonitatem, & moderationem, ob quam is non ſolum Romanis pluribus, iiſque principibus viris, ſicuti Scipioni, & eius aequali Laelio, ſed etiam tot Regibus, ac proceribus ſive Graecorum, ſive Aegyptiorum, aliarumque Orientalium nationum familiaris, quoad vixit, & iucundus fuit, hanc eandem ſententiarum moderatione, & aequitate, vel in his, quae reliquit, litterarum monumentis expreſſam apparere. Quanta vero in gerenda utiliter Rep. prudentia, peritiaque praeſtaret, inde poteſt intelligi, quod is Lycortae Patris ſui, Graecorum omnium in publicis negotiis adminiſtrandis facile principis, in diſciplina educatus, illam ſcientiam, quam caeteri longo uſu, ac periclitatione adipiſci conſueverunt, ex paterno ipſe convictu; & conſuetudine nativam prope, ac domeſticam habuerit. Idem rerum bellicarum cognitionem non ut Scriptorum plerique, iners domi adeptus eſt, aut alterius ex auditione, ac fama, aut quapiam in Bibliotheca


ὅπως ξυνδιαιτώμενος ἔτυχεν ἐν τῷ χάρακι, ἀλλὰ καὶ εἰς τὴν ἐξοπλασίαν, καὶ ἔκταξιν ξυνεπόμενος, ἐν ᾧ δὴ καιρῷ κατέσκαψε τὴν Καρχηδόνα, καὶ ἐπρησε, παρὼν ἐκείνῳ· ὅθεν καὶ τοὺς αὐτοῦ στεναγμοὺς, φωνάς τε ἰδίᾳ ἀκοῇ ἐδέξατο, τὸν παλαιοτάτης ἅμα, καὶ δυνατωτάτης ποτὲ ἀρχῆς, καὶ πόλεως ὄλεθρον ὀδυρομένου, ἐσομένην τε εἰκότως τῇ αὐτοῦ πατρίδι μοῖραν, καὶ ἐξώλειαν μαντευομένου ἐξ ὁμοίας πραγμάτων συντυχίας, καὶ ἀνάγκης. Μηδεὶς οὖν ἄλλος τῶν περὶ πολέμους, καὶ στρατείας πραγμάτων εὐπορώτερος ἡμῖν, καὶ ἀξιοπιστότερος αὐτοῦ μάρτυς δίκαιος ὑπάρχειν. Τί δὲ τὴν περὶ σύνταξιν τῆς ἱστορίας ἐμπειρίαν αὐτοῦ, καὶ δεξιότητα εὐπρεπῶς διηγήσωμαι; Καὶ γὰρ εἷς σχεδὸν διὰ τοσούτου χρόνου εὑρέθη, ὃς εὐτάκτως ἤδη, καὶ κεκριμένως διατάξας τὰ αὐτῷ ἱστορούμενα (ὡς ἤδη μαρτυροῦσι πάντες), αὐτὸς μηδὲν συγχωρήσας ἡδονῇ, καὶ χάριτι, πρὸς ἀλήθειαν ἅπαντα (ἣ μόνη πᾶσαν ἱστορίαν οἷον ἐμψυχοῖ) ἐξετάσῃ ἀκριβῶς, καὶ ἐξηγήσηται· ὥς τε τὴν ἐκείνου πραγματείαν, ὡσανεὶ τύπον τινὰ, καὶ παράδειγμα κἂν τοῖς συγγραφεῦσιν ἄλλοις προκεῖσθαι πρὸς ἐκμίμησιν. Διόπερ οὐκ ἄλλος ἐστὶν οὐδεὶς, ὡς ἐγῷμαι, τοῦ Πολυβίου ἐπιτηδειότερος διδάσκειν ἡμᾶς τοὺς τῇ ἱστορίᾳ νόμους ἀνήκοντας. Καὶ μὲν ὁ ἕτερος δὴ τῶν Ῥωμαϊκῶν πραγμάτων ἐξηγητὴς πρεσβύτερος, ὁ Τι-

theca aliena monumenta percurrendo, ſed in pulvere, & campo cum ſummis Imperatoribus verſando, in illaque diſcrimina cum ipſis una veniendo, in quibus bellicam ſcientiam non ſolum complecti cogitatione, ſed etiam praeſens experiri ipſe, ac ſentire poſſet. Sane cum Scipione illo, a quo exciſa Carthago eſt, non ſolum in caſtris fuit, ſed etiam in aciem ipſam proceſſit: ac, quo tempore ille Carthaginem evertit, atque incendit, praeſens aderat, ut vel ſuſpiria eius, atque voces, vetuſtiſſimi, potentiſſimique Imperii, & Urbis fata deplorantis, atque ex ſimili rerum, ac fatorum conſenſione ſuum vel Rom. Reip. occaſum augurantis, audire potuerit. Quocirca haud quiſpiam Polybio locupletior, cum de bellicis rebus agitur, ac fide dignior teſtis nobis eſſe debet. Quid vero peritiam eius, ſolertiamque in hiſtoria conſcribenda paribus laudibus exornare poſſim? Is quippe, tam longo temporis ſpatio, unus prope inventus eſt, qui, cum optimo iudicio, & ordine hiſtoriam ſuam digeſſiſſet, idem (ut facile omnes confitentur), ab omni aſſentatione, & gratia alienus, cuncta ad veritatem (quae una totam prope animat hiſtoriam) revocaret, & exigeret, unde eiuſdem libri tanquam propoſi-

ὁ Τίτος Λιούιος ἐπὶ τοσοῦτο τὰ τῷ Πολυβίῳ ἐκπεπονημένα διὰ τιμῆς, καὶ ἔρωτος εἶχεν, ὥστε μόνον οὐ συνοικεῖν τοῖς ἐκείνου ὑπομνήμασι· καὶ ἔστιν ἅ τινα τούτων ἑρμηνευσάμενον, καὶ ἐκ τοῦ τῶν Ἑλλήνων εἰς ἐπιχώριον ἰδίωμα μετατρέψαντα, αὐτοῖς που ἐν τῇ ἰδίᾳ τῆς ἱστορίας συντάξει κεχρῆσθαι, ὡς σφετέροις. Ὁ δὲ Κονσταντῖνος, Βασιλεὺς τῶν Ῥωμαίων, ὁ ἐπίκλην Πορφυρογέννητος, ἐπὶ τοσοῦτον ἁπάντων ἄλλων προέκρινε Πολύβιον, ὥστ' ὀλίγα τινὰ δρεψάμενον παρὰ τῶν συγγραφέων ἄλλων, ὅτι πλεῖστα ἐκ τοῦ Πολυβίου παραλαβόντα, τῷ Ἱστορικῷ Σώματι ἐντάξαι· ὅπερ εἰς χρείαν συνέταξε βασιλέων τε, καὶ στρατηγῶν· καίπερ αὐτὸ ἀπόλωλεν ἤδη πάνυ ἀπαισίως, ἠφανισμένον ὑπὸ χρόνου. Καὶ μὲν ἐκεῖνος ᾤετο δὴ πολιτικαῖς ἅμα, καὶ πολεμικαῖς χρείαις οὐ τυχὸν ὄφελος κόσμον τε περιγενήσεσθαι, ἐὰν αὐταῖς προσέχοιεν ἄνδρες, ὡς οἷόν τε μάλιστα, ὑπὸ τοῦ Πολυβίου πεπαιδευμένοι, καὶ μαθόντες τὰ προσήκοντα ἐκείναις. Καὶ μὲν ταῦτα, ὡς ἐγῷμαι, ἅλις περὶ τοῦ Πολυβίου.

positum ad imitandum exemplar vel caeteris esse possint, qui idem scriptionis genus persequuntur. Quo circa nemo aptior (ut equidem censeo) Polybio esse potest, a quo edoceamur, quaenam sint leges Historiae conscibendae. Certe alter nobilissimus rerum Romanarum scriptor, Titus Livius eo usque Polybii scripta in amore, ac pretio habuit, ut cum iisdem tantum non habitaret, atque ex ipsis quaedam interpretaretur, sive ex Graeco in patrium sermonem transferret, quibus in concinnanda Historia usus deprehenditur, ut propriis, ac suis. Constantinus vero, Rom. Imperator, cognomento *Porphyrogenitus*, Polybium tanto caeteris omnibus, iudicio suo, anteponebat, ut, cum reliquis e Scriptoribus pauca admodum excerpsisset, pleraque sumeret e Polybio, quae in *Corpus Historicum* intexeret; quod ipse ad Regum, atque Ducum usus concinnaverat, licet illud, malo fato, perierit, deletum iniuria temporis. Non mediocre siquidem ornamentum, atque commodum & civilibus, & bellicis rebus accessurum existimavit, si quam plurimi, a Polybio edocti, & instructi, ad easdem gerendas se conferrent. Atque isthaec in Polybii laudem satis a me dicta esse existimo.

Τοῖς δὲ τούτῳ ἐπεθέμην Ἀππιανοῦ τ' Ἀλεξανδρέως, καὶ τοῦ Ἡρωδιανοῦ ἀποφθέγματα, καὶ γνώμας· ὧν ὁ μὲν ξενικούς τε, καὶ τοὺς ἐμφυλίους Ῥωμαίων πολέμους ἱστόρησεν· ὁ δὲ τὰ ὑπὸ τῶν βασιλέων συμβάντα διηγήσατο· ἀρξάμενος ἀπὸ τοῦ Ἀντωνίνου Κομμόδου, μέχρι δὲ τοῦ Γορδιανοῦ τοῦ νεωτέρου καθυφήνας τὴν ἱστορίαν· ὧν ἀμφοτέρων ἀποφάσεις διετάξαμεν κατὰ λόγον, καὶ μοῖραν αὐτὴν ταῖς τοῦ Πολυβίου. Οὐκοῦν τρεῖς ἐκ τούτων Ῥωμαϊκῶν πραγμάτων συγγραφέων ἐνόμισα, οἷον σύνδεσμόν τινά πως ἀποφθεγμάτων συνεστηκέναι, οὐκ ἐλάχιστα πρός τε τῶν ἠθῶν διόρθωσιν, καὶ τὴν τῆς ἱστορίας πραγματείαν, χειρισμόν τε πολιτικῶν ἅμα, καὶ στρατιωτικῶν πράξεων συμφέροντα· ὅθεν δὴ ἕκαστος, ὥσπερ ἐκ ταμιείου τινὸς, καθό πως αὐτῷ δόξῃ, ἐκλάβῃ τὰ τῇ ἰδίᾳ τύχῃ, καὶ πράγμασι προσήκοντα..



ΤΟΥ

Selectis vero Polybii locis addidi Appiani Alexandrini, & Herodiani dicta, atque sententias: quorum alter Historia sua externa, & domestica Rom. bella complexus est, alter vero ea enarravit, quae sub Imperatoribus contigerunt; exorsus ab Antonino Commodo, & prosequutus ad Gordianum usque iuniorem: quorum utriusque lectas sententias in eumdem ordinem, ac Polybii loca, curavi redigendas. Quocirca ex tribus hisce rerum Romanarum Scriptoribus quemdam veluti fasciculum sententiarum coaluisse arbitror, ex quo non parum utilitatis & ad mores informandos, & ad Historiae tractationem, unaque ad civilia, & militaria negotia gerenda accederet: unde, tamquam ex penu quodam, suo quisque arbitratu, ea depromat, quae ad privatam sui fortunam, resque pertinebunt.



ΤΟΥ ΠΟΛΥΒΙΟΥ ΕΚΛΕΚΤΑ

ΗΘΙΚΑ.

α' Πολλὰ ἡ τύχη καινοποιεῖ, καὶ συνεχῶς ἀγωνίζεται τοῖς τῶν ἀνθρώπων βίοις. Βιβλ. α'

β' Δυοῖν ὄντων τρόπων πᾶσιν ἀνθρώποις τῆς ἐπὶ τὸ βέλτιον μεταθέσεως, τοῦτε διὰ τῶν ἰδίων συμπτωμάτων, καὶ τοῦ διὰ τῶν ἀλλοτρίων, ἐναργέστατον μὲν εἶναι συμβαίνει τὸν διὰ τῶν οἰκείων περιπετειῶν, ἀβλαβέστερον δὲ τὸν διὰ τῶν ἀλλοτρίων. Διὸ τὸν μὲν οὐδέποθ' ἑκουσίως αἱρετέον· ἐπεὶ μετὰ μεγάλων πόνων, καὶ κινδύνων ποιεῖ τὴν διόρθωσιν· τὸν δὲ ἀεὶ θηρευτέον, ἐπεὶ χωρὶς βλάβης ἔστι συνιδεῖν ἐν αὐτῷ τὸ βέλτιον· ἐξ ὧν συνιδόντι καλλίστην παιδείαν ἡγητέον πρὸς ἀληθινὸν βίον τὴν ἐκ τῆς πραγματικῆς ἱστορίας περιγιγνομένην ἐμπειρίαν· μόνη γὰρ αὕτη, χωρὶς βλάβης, παντὸς καιροῦ, καὶ περιστάσεως κριτὰς ἀληθινοὺς ἀποτελεῖ τοῦ βελτίονος.

γ' Δια-

LOCA E POLYBIO SELECTA
AD MORES PERTINENTIA.

I. FOrtuna multa nova molitur, atque assidue cum hominum vitis confligit. *Ex l.* 1.

II. Cum duo sint modi, quibus cuncti homines meliorem in partem se, suaque convertunt, alter qui fit per aerumnas proprias, & calamitates, alter vero, qui per alienas, ille sane, qui per domestica fit incommoda, maiorem evidentiam, ac perspicuitatē habet; qui autem per aliena, a periculo est remotior. Quo circa ille ultro quidem nunquam accersendus nobis est, quippe qui per graves labores, atque discrimina nosmet corrigat; alterum vero studiose persequi debemus, cum inde sine detrimento liceat, quid praestantius, meliusque sit, perspicere. Quae profecto considerantem, pulcherrimam ad veram, & solidam vivendi rationem, disciplinam iudicare oportet scientiam illam, quae ex rerum gestarum narratione percipitur. Haec enim sola, ab omni aliena damno, omni tempore, ac rerum in conversione, veraces nos iudices de bono, atque utili constituit.

γ' Διαπιστεῖν δεῖ τύχῃ, καὶ μάλιστα κατὰ τὰς εὐπραγίας (α').

δ' Οὐ μόνον τὰ σώματα τῶν ἀνθρώπων καὶ τινὰ τῶν ἐν αὐτοῖς γινομένων ἑλκῶν, καὶ φυμάτων ἀποθηριοῦσθαι συμβαίνει, καὶ τελέως ἀβοήθητα γίγνεσθαι· πολὺ δὲ μάλιστα τὰς ψυχάς. Ἐπί τε γὰρ τῶν ἑλκῶν, ἐὰν μὲν θεραπείαν τοῖς τοιούτοις προστάξῃ τις, ὑπ' αὐτῆς ἐνίοτε ταύτης ἐρεθιζόμενα, θᾶττον ποιεῖται τὴν νομήν. Ἐὰν δὲ πάλιν ἀφῇ, κατὰ τὴν ἐξ αὐτῶν φύσιν φθείροντα τὸ συνεχές, οὐκ ἴσχει παῦλαν, ἕως ἂν ἀφανίσῃ τὸ ὑποκείμενον· ταῖς τε ψυχαῖς (β') παραπλησίως τοιαῦται πολλάκις ἐπιφύονται μελανίαι, καὶ σηπη-

---

(α') Διηγησάμενος ὁ Πολύβιος τὰ περὶ τὸν Μάρκον Ῥηγούλιον, στρατηγὸν τῶν Ῥωμαίων, ὑπὸ τῶν Καρχηδονίων ἡσσημένον ἤδη μάχῃ, καὶ ὑπ' αὐτῶν αἰχμάλωτον γενόμενον, τὸν πρότερον εὐτυχήσαντα λαμπρῶς ἐν τοῖς πολέμοις, αὐτὸν δὲ σκληρὸν τυχόντα, καὶ ἀνελεήμονα πρὸς τοὺς ἀτυχοῦντας τῶν πολεμίων, τάδε ἀποφθέγγεται· ὡς ἐπιφωνήσας τοῖς εἰρημένοις· παρακελεύεται γὰρ ἀεὶ ἀπιστεῖν τῇ τύχῃ, τοῦτο δὲ μάλιστα ἐν ταῖς εὐπραγίαις· ἐπεὶ αὐτὴ, ὡς ὕαλος, ἢ κρύσταλλος, ὅταν διαλάμπει τρανώτερον, διαῤῥήγνυται.

(β') Ἵνα καλῶς τὴν ἀφορμὴν τοῦ λόγου, καὶ τὸν τοῦ συγγραφέως σκοπὸν κατανοήσωμεν, ἰστέον, ὅτι οἱ τῶν Καρχηδονίων μισθοφόροι, τοῦ πρώτου πρὸς τοὺς Ῥωμαίους πολέμου λαβόντος ἤδη τὸ τέλος, συνομόσαντες, ἅμα τε τὰς κατὰ τὴν Λιβύην πόλεις ἐγείραντες εἰς ἀπόστασιν, μέγιστον εἰς κίνδυνον, ὡς εἰκὸς, περιέστησαν τὴν τῶν Καρχηδονίων ἀρχὴν πᾶσαν, καὶ πόλιν. Αἱρεθεὶς δ' Ἀμίλκας στρα-

III. Fortunae diffidendum est, idque praecipue secundis in rebus (1).

IV. Non humana solum corpora, quaeque in hisce nascuntur, ulcera, ac tubera evenit, ut efferentur, itaut nulla omnino medicina sanari possint; sed etiam, ac maxime quidem animi. Namque & ulcera, si quis remedia iisdem applicuerit, inde lacessita interdum, celerius carnem depascuntur: ac rursus, si eadem sibi dimiserit, suapte natura, & vi, continuo corpus corrumpunt, nec ante quiescunt, quam subiectam carnem penitus absumpserint. Pari modo vel animis (2) similes labes, ac livores saepe inna-

(1) Cum ea narrasset Polybius, quae Marco Regulo, Rom. Duci, acciderunt, qui, cum semper antea prospera belli fortuna usus fuisset, idemque durus esset, & inclemens in miseros hostes, repente praelio victus a Carthaginensibus, atque captus est, hac sententia narrationem suam concludit: qua monet, numquam fidendum esse incertae fortunae, idque maxime secundis in rebus. Ipsa quippe, ceu vitrum, cum lucet splendidius, frangitur.

(2) Ut mentem Scriptoris, & caussam, qua adductus isthaec scripsit, assequamur, sciendum, quod Carthaginenses, primo Punico bello confecto, cum mercenariae copiae, facta conspiratione, ab ipsis defecissent, unaque Lybiae totius Civitates ad eamdem defectionem concitassent, inde gravissimum in discrimen & Urbis, & imperii amittendi coniecti sunt. Quos adversus Amilcar

σηπηδόνες, ὥστε μηδὲν ἀσεβέστερον ἀνθρώπου, μηδ' ὠμότερον ἀποτελεῖσθαι τῶν ζώων· οἷς ἐὰν μὲν συγγνώμην τινὰ προσάγῃς, καὶ φιλανθρωπίαν, ἐπιβουλὴν, καὶ παραλογισμὸν ἡγούμενοι τὸ συμβαῖνον, ἀπιστότεροι, καὶ δυσμενέστεροι γίγνονται πρὸς τοὺς φιλανθρωποῦντας· ἐὰν δὲ ἀντιτιμωρῇ διαμιλλώμενος τοῖς θυμοῖς, οὐκ ἔστι τι τῶν ἀπειρημένων, ἢ δεινῶν, ὁποῖον οὐκ ἀναδέχονται, σὺν καλῷ τιθέμενοι τὴν τοιαύτην τόλμαν· τέλος δὲ ἀποθηριωθέντες ἐξέστησαν τῆς ἀνθρωπίνης φύσεως. Τῆς δὲ διαθέσεως ἀρχηγὸν, καὶ μεγίστην μερίδα νομιστέον ἔθη μοχθηρὰ, καὶ τροφὴν ἐκ παιδὸς κακήν· συνεργὰ δὲ καὶ τὰ πλείω· μέγιστα δὲ τῶν συνεργῶν, τὰς ἀεὶ τῶν προεστώτων ὕβρεις, καὶ πλεονεξίας.

ἑ Τὸ

στρατηγὸς πρὸς αὐτοὺς, ἐπεὶ μάχῃ ἐνίκησεν ἐκείνους, τῶν αἰχμαλώτων πολλοὺς ἀφῆκεν ἀζημίους· προελπίσας κἂν ἄλλους ἐνδώσειν πως, τῷ μεγέθει τῆς φιλανθρωπίας ἡσσημένους, καὶ δελεαζομένους τῇ τῆς προκειμένης σωτηρίας ἐλπίδι. Συνέβη δὲ πάνυ τοὐναντίον. Οἱ γὰρ ἐπιβουλὴν τοῦτο, καὶ παραλογισμὸν εἶναι νομίζοντες, Ἴεσκωνα Καρχηδόνιον, ἄνδρα πάνυ δεξιὸν, καὶ τῇ αὐτοῦ πατρίδι ὠφέλιμον εἰς πολλὰ γεγονότα· ἀλλὰ καὶ πρὸς αὐτοὺς στρατιώτας χρήσιμον, ἔστιν ὅτε, καὶ φιλάνθρωπον εὑρημένον, τὸν πρὸς αὐτοὺς ἐξιόντα εἰς τὰς συνθήκας· ἅμα δ' αὐ-

τῶ

ſcuntur: ut inde homo caeteris animantibus multo iniquior, & crudelior evadat. Si enim quandam iiſdem veniam, & miſericordiam impenderis, fraudem, & inſidias ſubeſſe exiſtimantes, perfidiores, atque infeſtiores erga hos ipſos exiſtunt, qui humanitatem impertiti ſunt. Quod ſi quiſpiam in eo certarit, ut parem ulciſcendo poenam de iiſdem ſumat, nihil eſt tam nefaſtum, & horribile, quod non ſuſcipiant, talem audaciam ſoliti vel in laude ponere. Poſtremo animo efferati, humanitatem omnem animis exuunt. Cuius improbitatis maximam, ac principem cauſam eſſe exiſtimandum eſt, depravatam conſuetudinem, atque educationem a pueris: adhuc vero plura ad eamdem confirmandam conducere: quae inter praecipue numeranda ſunt eorum, qui praeſident, iniuriae, & avaritia.

V. Quod

---

car delectus Imperator, cum eoſdem praelio ſuperaſſet, plures, quos ceperat, indemnes dimiſit: ratus fore, ut vel caeteri ſeſe dederent, victi humanitatis magnitudine, ſpeque ſalutis propoſita. At ſecus omnino res accidit. Illi quippe fraudem, & inſidias ſubeſſe exiſtimantes, Ieſconem (qui e Carthagine exierat, ut de pace, ac foedere cum ipſis ageret) aptiſſimum rebus gerendis virum, quique Patriae ſuae pluribus in rebus ſe utilem praeſtiterat, quin & in ipſos milites aliquando ſe beneficum, & commodum oſtenderat; necnon cum illo Cartha-

έ Τὸ μὲν ἀνθρώπους ὄντας παραλόγως περιπεσεῖν τισι τῶν δεινῶν, οὐ τῶν παθόντων, τῆς τύχης δὲ, καὶ τῶν πραξάντων ἐστὶν ἔγκλημα· τὸ δὲ ἀκρίτως, καὶ προφανῶς περιβαλεῖν αὑτοὺς ταῖς μεγίσταις συμφοραῖς, ὁμολογούμενόν ἐστι τῶν πασχόντων ἁμάρτημα. Διὸ καὶ τοῖς μὲν ἐκ τύχης πταίουσιν ἔλεος ἕπεται μετὰ συγγνώμης, καὶ ἐπικουρίας· τοῖς δὲ διὰ τὴν αὑτῶν ἀβουλίαν, ὄνειδος, καὶ ἐπιτίμησις συνεξακολουθεῖ παρὰ τοῖς εὐφρονοῦσι. Βιβ. β'

ϛ' Χωρὶς ταύτης (τῆς αἰτίας) οὔτε τῶν κατὰ λόγον, οὔτε τῶν παρὰ λόγον εἶναι δοκούντων οὐδὲν οἷόν τε συντελεσθῆναι.

ζ' Ἀεὶ ποθ' ἡ τύχη τὰ μέγιστα τῶν πραγμάτων παρὰ λόγον εἴωθε κρίνειν (α').

ή Αἱ

τῷ κἀν ἄλλους τῶν Καρχηδονίων, οὓς αἰχμαλώτους εἶχον, ἢ καὶ εἷρξαν παρασπονδήσαντες, ἠκροτηρίασαν, καὶ ἀπέκτειναν πάντων ὠμότατα· τοῦ δηλονότι πᾶσαν σωτηρίας ἐλπίδα ὑφελόντας τοῖς ἰδίοις, ἀναγκάζειν αὐτοὺς ἀπαραιτήτως, ὡς ἐν ἀπογνώσει πάντων, ἐπιμάχεσθαι πρὸς τοὺς Καρχηδονίους.

(α') Κλεομένης, βασιλεὺς τῶν Λακεδαιμονίων, νικηθεὶς ὑπὸ

V. Quod homines, ista praediti natura, qua sumus, in aerumnas quasdam ex insperato incurrant, id non calamitosis ipsis vitio tribuendum est, sed fortunae, & iis una, qui auctores infortunii extitere. Quis vero non assentiatur, certissimum eorum, qui eiusmodi subeunt incommoda, esse peccatum, quod temere, & aperte in maximas se calamitates coniecerint? Quocirca & hosce, qui ex fortunae vitio offendunt, consequitur, una cum venia, misericordia, & opitulatio; & illis, qui ex imprudentia sua, atque culpa laborant, probrum, reprehensioque a prudentibus impenditur. *L.* 2.

VI. Sine hac (causa videlicet) neque eorum aliquid, quae ratione, & ordine fiunt; nec illorum, quae praeter rationem, & ordinem accidere videntur, perfici omnino potest.

VII. Fortuna de maximis rebus, atque negotiis (1) inconsulto semper, ac temere decernere consuevit. VIII. In-

---

thaginenses alios, quos aut bello ceperant, aut vinctos contra fidem, ac religionem tenebant, crudeliter necarunt, summis corporis partibus detruncatos: quo videlicet adigerent suos, omni sublata reliqua salutis spe, necessario, tamquam in summa rerum desperatione, adversus Carthaginenses decertare.

(1) Cleomenes, Lacedaemoniorum Rex, victus ab An-

η' Αἱ τῶν ἀνθρώπων φύσεις οὐ μόνον τοῖς σώμασιν ἔχουσί τι πολυειδὲς, ἔτι δὲ μᾶλλον ταῖς ψυχαῖς· ὥστε τὸν αὐτὸν ἄνδρα μὴ μόνον ἐν τοῖς διαφέρουσι τῶν ἐνεργημάτων πρὸς ἃ μὲν εὐφυῶς ἔχειν, πρὸς ἃ δ' ἐναντίως· ἀλλὰ περί τινα τῶν ὁμοειδῶν πολλάκις τὸν αὐτὸν καὶ συνετώτατον εἶναι, καὶ βραδύτατον· ὁμοίως δὲ καὶ τολμηρότατον, καὶ δειλότατον (α')· οὐ παράδοξα ταῦτά γε, συνήθη δὲ, καὶ γνώριμα τοῖς βουλομένοις συνεφιστά-

ὑπὸ τοῦ Ἀντιόχου, τῶν Μακεδόνων βασιλέως, ἀπέδρα τῆς αὐτοῦ πατρίδος. ὡς ἄμεινον ἄλλοθί που τοῖς αὐτοῦ πράγμασι μέλλων συμβουλεύειν. Ἐπελθὼν δ' Ἀντίοχος ἐκράτησε τῆς πόλεως, καὶ μετ' ὀλίγον πάνυ τῶν Ἰλλυριῶν εἰς τὴν Μακεδονίαν εἰσβαλόντων, ἠναγκάσθη ἐς οἶκον, αὐτοὺς ἀμεινούμενος, ἐπανελθεῖν. ὥστ', ἂν ὀλίγους πάνυ ἡμέρας ὁ Κλεομένης ἀνέβαλε τὴν μάχην, ἢ περιέμεινεν ἡσσημένος, μήτ' εὐθὺς ἀπέφυγε τῆς πατρίδος, ἀνεκτήσαιτο, ὡς ἔοικε, τὴν ἀρχὴν, καὶ περιγένοιτο τῶν πραγμάτων· οὕτως ἐν βραχεῖ πάνυ, καὶ παραλόγως κρινούσης, ὡς λέγει Πολύβιος, τῆς τύχης τὰ μέγιστα τῶν πραγμάτων· ὅπερ καὶ ἐπ' ἄλλοις, τοῖς διὰ βίου συμβαίνουσιν, ὁμοίως ἀληθές ἐστι. Καὶ γὰρ πολλάκις τὰ μέγιστα δὴ, καὶ χαλεπώτατα τῶν πραγμάτων ἐν βραχυτάτῳ χρόνῳ, δι' ὀλίγης τε ῥοπῆς τύχης, οἷον ὁλκῆς ἐναντίας παρ' ἐλπίδα γενομένης, τρέπεται, καὶ κρίνεται. Ὅθεν καλῶς συμβουλεύειν δοκοῦσιν οἱ προστάττοντες, μηδέποτ' εἰς τὰς ἐσχάτας ἐλθεῖν τῶν βουλῶν, εἰ μὴ πάνυ ἀπέγνωσται, καὶ πᾶσα κατέσβεσται ἐλπὶς τοῦ κατορθοῦσθαι τὰ προκείμενα δύνασθαι. πρὸ τοῦ γὰρ ἐλπιστέον ἀεὶ, τροπήν τινα γενήσεσθαι τυχὸν καιρῶν, ἢ τύχης.

(α') Ταῦτα δὴ τοῦ γράψαι τὴν ἀφορμὴν παρεῖχε Πολυβίῳ Ἄρα-

VIII. Indoles, naturaeque hominum, multiplices, & variae ſunt non in corporibus ſolum, ſed magis etiam in animis; ut unus, atque idem vir, non modo quoad diverſi generis facultates, aptus ad alias ſit, ad alias vero, contrario modo ſe habeat; ſed etiam in his quibuſdam, quae ſimili in genere verſantur, unus, & idem prudentiſſimus ſit, & ingenio tardiſſimus; parique modo & audaciſ- ſimus,

Antiocho, Rege Macedonum, e Lacedaemone profugit, uti ſuis rebus melius alibi uſpiam conſulturus. Antiochus interea cum exercitu adveniens, Urbem in ſuam poteſtatem redegit; & paulo poſt, cum Ilyrii in Macedoniam irrupiſſent, domum regredi coactus eſt, quo eoſdem inde propulſaret: ut ſi Cleomenes ad perpaucos dies praelium diſtuliſſet, aut ſuperſediſſet victus, neque ſtatim a patria aufugiſſet, ipſe recuperaſſet regnũ ſuum, planeque rerum fuiſſet potitus. Ita fortuna, exiguo temporis intervallo, de maximis ſaepe rebus inconſulto, ac praeter opinionem hominum, ut ait Polybius, decernere conſuevit. Quod ſimiliter in aliis, quae hominum vitae obveniunt, veriſſime accidit. Perſaepe enim graviſſima, ac difficillima negotia, breviſſimo tempore, ac perparva fortunae inclinatione, tamquam curſu quodam, & impetu rerum in contrariam partem facto, convertuntur, atque ſuum habent exitum. Quocirca recte praecipiunt, qui vetant, niſi res penitus deſperatae ſint, & omnis reliquae ſalutis ſpes extincta, capere extrema conſilia: nam ſemper antea ſperandum, converſionem aliquam poſſe contingere.

σάνειν. Τινὲς μὲν γὰρ ἐν ταῖς κυνηγεσίαις εἰσὶ τολμηροὶ πρὸς τὰς τῶν θηρίων συγκαταστάσεις (α'). οἱ δὲ αὐτοὶ πρὸς ὅπλα, καὶ πολέμους ἀγεννεῖς· καὶ τῆς τε πολεμικῆς χρείας τῆς κατ' ἄνδρα μὲν, καὶ κατ' ἰδίαν εὐχερεῖς, καὶ πρακτικοὶ, κοινῇ δὲ, καὶ μετὰ πολεμικῆς ἐνίων συντάξεως, ἄπρακτοι. Βιβ. δ'

θ' Ἡ συνεχὴς ἀδικία (β') συγγνώμης τυγχάνει μᾶλλον τῆς σπανίου, καὶ παραδόξου πονηρίας.

ι' Δη-

(α') Ἄρατος, ὁ στρατηγὸς τῶν Ἀχαιῶν· ἀνὴρ μὲν βουλεύεσθαι, καὶ τὰ οἴκοι διοικεῖν σχολῇ πρακτικώτατος, καὶ εὐφυέστατος· αὐτὸς δὲ πολεμικαῖς ἐν χρείαις νωθρὸς πολλάκις, καὶ ἄτολμος, καὶ ἀφυὴς εὑρημένος.

(β') Τὴν τῆς κυνηγεσίας ἀναλογίαν, καὶ ἐπιτηδειότητα, τὴν πρὸς χρείαν τῶν πολεμικῶν, καλῶς ὁ Ξενοφῶν διασαφεῖ βιβ. ά τῆς Κύρου παιδείας, λέγων· „ ἀληθεστάτη δοκεῖ αὕτη ἡ μελέτη (ἡ περὶ θήραν) τῶν πρὸς „ πόλεμον εἶναι. Καὶ γὰρ πρωῒ ἀνίστασθαι ἐθίζει, καὶ „ ψύχει, καὶ θάλπει ἀνέχεσθαι· γυμνάζει δὲ καὶ ὁδοι„ πορείαις, καὶ δρόμοις· ἀνάγκη δὲ καὶ τοξεῦσαι θηρίον, „ καὶ ἀκοντίσαι, ὅπου ἂν παραπίπτῃ· καὶ τὴν ψυχὴν πολ„ λάκις ἀνάγκη θήγεσθαι ἐν τῇ θήρᾳ· ὅταν τι τῶν ἀλ„ κίμων θηρίων ἀντιστῆται· παίειν γὰρ δεῖ τὸ ὁμόσε γι„ γνόμενον· φυλάξασθαι δὲ τὸ ἐπιφερόμενον· ὥστ' οὐ ῥᾴ„ διον εὑρεῖν ἐν τῇ θήρᾳ, τί ἄπεστι τῶν ἐν πολέμῳ πα„ ρόντων.

(γ') Τῶν Αἰτωλῶν πέρι τάδε γέγραπται, οἷς δὴ πολ-

λαὶ

ſimus, & perdita timiditate, atque ignavia (1). Neque haec iam incredibilia videri debent : quin magis uſitata ſunt, & his, qui animum advertere aliquid velint, clara, & perſpicua . Sunt nimirum, qui in venationibus audacter cum feris congrediantur (2), iidemque adverſus arma, & hoſtes ſint plane inepti : & item alii ſingularibus in certaminibus idonei ſint, ac ſtrenui, ſed in campo cum inſtructa acie, plane ad nullum uſum apti reperiantur. *L.*4.

IX. Perpetua iniquitas veniam magis (3) im-

(1) Polybio occaſionem iſthæc ſcribendi Aratus, Achæorum Dux, praebuit: vir ſane in conſiliis capiendis, ac rebus domi otioſe gerendis ſolers inprimis, & exercitatus; idemque tardus in bello inventus, & ignavus, & nulli aptus uſui.

(2) Venationis cum uſu rerum bellicarum affinitatem, ac ſimilitudinem declarat Xenophon l. 1. Cyropaediae, inquiens : *venandi diligentia & ſtudium, veriſſima eorum commentatio eſſe videtur, quae ad bellum ſpectant. Namque & ſurgendi diluculo conſuetudinem affert, & frigus, caloremque ſuſtinendi . Exercet praeterea itineribus, ac curſibus . Adde his, belluam neceſſa io iaculis, ac telis, quacumque inciderit, petendam eſſe ; ac ſaepe animum in venando acuendum, cum robuſtarum quaepiam belluarum ex adverſo ſteterit : quippe quae & vulneranda in conflictu ſit, &, cum irruit, praecavenda : ut non facile ſit reperire, quid a venatione abſit rerum bellicarum .*

(3) Haec ſcripta ſunt de Aetolis, qui cum multa crebro

ι' Δῆλον ὡς εὐήθη, καὶ μάταιον εἰκὸς φαίνεσθαι τὸν τοιοῦτον, ὅταν ὑπολαμβάνει τοῖς λόγοις ἐπικρύψασθαι τὰς τῶν πραγμάτων ἐναργείας.

ια' Ἄνοια μετὰ κακίας, τὸ δοκεῖν (α'), ἐὰν τις αὐτὸς ἐπιμύῃ, μηδὲ τοὺς πέλας ὁρᾶν.

ιβ' Δοκεῖ μοι τοῦτ' ἀληθὲς εἶναι, διότι πολλάκις τὸ τολμᾶν περιττὸν εἰς ἄνοιαν, καὶ εἰς τὸ οὐδὲν καταντᾶν εἴωθεν.

ιγ' Οἱ δυνάμενοι τῶν ἀνθρώπων ἐπιδεξίως ὁμιλεῖν τοῖς συμπεριφερομένοις, οὐ μόνον παρόντες, ἀλλὰ καὶ μακρὰν ἀφεστῶτες ἐγκαταλείπουσί τινα καὶ λίαν ἰσχυρὰ τῆς πρὸς αὐτοὺς εὐνοίας αἰθύγματα.

ιδ' Και-

λα ἠδικόσιν ἀθρόως τούς τε θεοὺς, καὶ τοὺς ἀνθρώπους, ῥᾷον συγγνώμην εἶχον οἱ ἄνθρωποι. ὡς μηδὲν ἄηθες ἤδη πράττουσι· μᾶλλον δὲ τῇ φύσει αὐτῶν, καὶ συνηθείᾳ, ὡς ἔοικε, πειθομένοις.

(α') Κατὰ Λακεδαιμονίων ὁ λόγος, τῶν ῥήματι μὲν αὐτονόμους ἀφέντων τὰς τῶν Ἑλλήνων πόλεις· ἔργῳ δὲ τηρούντων καταδεδουλωμένας ἔτι μάλιστα. καὶ τοὺς παρασπονδήσαντας τῶν στρατηγῶν ἐννόμως τιμωρούντων, οὐκ ἐξαγόντων δὲ ἐκ τῶν φρουρίων, καὶ ἀκροπόλεων τὰς φρουρὰς, καὶ λαβεῖν ἐλπιζόντων, ὡς ἀδικούντων οὐδέν.

impetrare solet, quam infrequens, quaeque praeter hominum opinionem suscipitur.

X. Illud iam perspicuum est, stultum, ac dementem illum videri oportere, qui manifesta, & aperta facinora se oratione tegere posse arbitretur.

XI. Stultitia est, cum nequitia coniuncta, si quis ex eo putet, quod conniveat ipse, ac dissimulet (1), vel caeteros, qui proximi sunt, non videre.

XII. Hoc mihi verum esse videtur, nimiam persaepe audaciam nonnisi ad dementiam valere, atque ad nullam fere rem gerendam conducere.

XIII. Qui apte, & solerter his, quibuscum vivunt, hominibus, uti novere, non solum cum praesentes sunt, sed etiam cum absunt longe, quosdam erga se benevolentiae fomites, ac stimulos, eosque vehementes in-

C pri-

bro peccassent in Deos, atque homines, tanto facilius venia iisdem dabatur, quod nihil insolens agere videbantur, ac suae magis naturae, & consuetudini obsequi.

(1) Isthaec in Lacedaemonios scripta sunt, qui, verbo quidem tenus, Urbes Graeciae se liberas dimittere praeseferebant, re autem ipsa oppressas tenebant servitute; ac de suis ducibus, si qui datam civitatibus fidem violaverant, poenas sumebant, nec tamen praesidia ex arcibus educebant, ac in eo se homines caeteros latere existimabant, perinde atque nihil peccarent.

ιδ' Κοινὸς δή τις οὗτος εὕρηται τρόπος διαβολῆς, τὸ μὴ ψέγοντας, ἀλλ' ἐπαινοῦντας (α') λυμαίνεσθαι τοὺς πέλας. Εὕρηται δὲ μάλιστα, καὶ πρῶτον ἡ τοιαύτη κακεντρέχεια, καὶ βασκανία, καὶ δόλος ἐκ τῶν περὶ τὰς αὐλὰς διατριβόντων, καὶ τῆς τούτων πρὸς ἀλλήλους ζηλοτυπίας, καὶ πλεονεξίας.

ιε' Οἱ μὲν Ἀρχαῖοι τὴν ἀρχὴν (β') ἥμισυ τοῦ παντὸς εἶναι φάσκοντες, μεγίστην παρῄνουν ποιεῖσθαι σπουδὴν ἐν ἑκάστοις, ὑπὲρ τοῦ καλῶς ἄρξασθαι· δοκοῦντες δὲ λέγειν ὑπερβολικῶς, ἐλλειπέστερόν μοι φαίνονται τῆς ἀληθείας εἰρηκέναι. Θαρ-

---

(α') Ὁ Ἀπελλῆς ἤγουν εἷς ὢν τῶν περὶ Φίλιππον, τὸν Ἀντιόχου, τῆς Μακεδονίας βασιλέα (ὃς αὐτοῦ καὶ ἐπίτροπος ἐγεγένητο), κακῶς φέρων, Ταυρίωνα, τινὰ τῶν τοῦ Φιλίππου ὑπηρετῶν, Πελοποννήσου ἐπιστατεῖν· ἕτερον δὲ ἄλλον προθυμούμενος δι' αὐτοῦ τετάχθαι προστάτην τῶν ἐκεῖ πραγμάτων, διέβαλλε Ταυρίωνα παρὰ τῷ βασιλεῖ, ἐπαινῶν, μὴ ψέγων. Ἔλεγε γὰρ Ταυρίωνα ἐπιτήδειον μάλιστα, καὶ ἱκανὸν ἄξιόν τ' εἶναι, ἐν ὑπαίθροις ἐνδιατρίψαι μετὰ βασιλέως.

(β') Ὡσαύτως ὁ Σωκράτης παρὰ Πλάτωνι ἐν τῷ Διαλόγῳ Κράτυλος, μεγίστην, ὡς ἔοικε, σπουδὴν, καὶ ἐπιμέλειαν ποιητέον εἶναι περὶ τῆς ἀρχῆς, ἐπιδείκνυσι λέγων „ δεῖ περὶ τῆς ἀρχῆς παντὸς πράγματος παντὶ ἀνδρὶ τὸν „ πολὺν λόγον εἶναι, καὶ τὴν πολλὴν σκέψιν, εἴτε ὀρθῶς, „ εἴτε μὴ ὑπόκειται. Ἐκείνης δὲ ἐξετασθείσης, ἱκανῶς „ τὰ

primis, eorumdem animis inuſtos relinquunt.

XIV. Novus hic calumniandi modus inventus eſt, non vituperando, ſed laudando proximos laedere (1). Haec autem nequitia, & invidentia, atque fraus ab his maxime, & primum inventa eſt, qui in Regiis verſantur: atque eadem nata eſt ex mutua eorumdem inter ſe aemulatione, & avaritia.

XV. Veteres quum dicerent principium eſſe dimidium totius (2), illud admonebant, maximam ſingulis in rebus rationem eſſe ineundam, quo eaedem praeclare inchoentur. Qua in re cum ſupra modum loquuti eſſe videantur, mihi vel minus dixiſſe videntur,

quam

(1) Appelles videlicet, unus e miniſtris Philippi, eius, qui Antiochi filius fuit, Regis Macedonum, (qui & tutor eiuſdem fuerat) cum aegre ferret Taurionem, item miniſtrum Philippi, Peloponneſo praeeſſe, cuperetque, ut alius muneri illi, & loco, opera ſua, atque gratia, praeficeretur, traducebat Taurionem apud Regem, non vituperando, ſed laudando. Aiebat quippe: Taurionem digniſſimum eſſe, & aptiſſimum, qui in caſtris verſaretur una cum Rege.

(2) Ita Socrates apud Platonem in Dial. Cratyl., maximam, ut par eſt, principii rationem, ac diligentiam habendam eſſe declarat his verbis: *Singulos in primis de cuiuſque rei principio ſollicitos eſſe oportere, ac diligenter conſiderandum, praeclare, nec ne, poſitum principium fuerit. Cum vero id recte expenderis, caetera omnia eidem*

Θαῤῥῶν γὰρ ἄν τις εἴποι, οὐχ ἥμισυ τὴν ἀρχὴν εἶναι τοῦ παντὸς, ἀλλὰ καὶ πρὸς τὸ τέλος διατείνειν· πῶς γὰρ ἄρξασθαί τινος καλῶς οἷόν τε μὴ προσπεριλαβόντα τῷ νῷ τὴν συντέλειαν τῆς ἐπιβολῆς, μηδὲ γινώσκοντα, ποῦ, καὶ πρὸς τί, καὶ τίνος χάριν ἐπιβάλλεται τοῦτο ποιεῖν; πῶς δὲ πάλιν οἷόν τε συγκεφαλαιώσασθαι πράγματα δεόντως, μὴ συναναφέροντα τὴν ἀρχὴν, πόθεν, καὶ πῶς, καὶ διὰ τί πρὸς τὰς ἐνεστώσας ἀφῖκται πράξεις; Διόπερ οὐχ ὡς ἕως τοῦ μέσου νομίζοντας διατείνειν τὰς ἀρχὰς, ἀλλ' ἕως τοῦ τέλους πλείστην περὶ ταῦτα ποιητέον σπουδὴν καὶ τοὺς λέγοντας, καὶ τοὺς ἀκούοντας περὶ τῶν ὅλων. Βιβ. ε'

ις' Τὸ μὲν τῷ λόγῳ μεγίστων ἔργων ἀντιποιήσασθαι, τελείως ἐστὶ ῥᾴδιον· τὸ δὲ τοῖς πράγμα-

---

„ τὰ λοιπὰ φαίνεσθαι ἐκείνῃ ἑπόμενα." Δημοσθένης δὲ καὶ παραδείγματι χρησάμενος Ὀλυνθ. λόγῳ β' „ ὥσπερ, „ φησὶν, οἰκίας οἶμαι, καὶ πλοίου, καὶ τῶν ἄλλων τῶν „ τοιούτων τὰ κάτωθεν ἰσχυρότατα εἶναι δεῖ, οὕτω καὶ „ τῶν πράξεων τὰς ἀρχὰς, καὶ τὰς ὑποθέσεις ἀληθεῖς, καὶ δικαίας εἶναι προσήκει."

quam veritas postulet. Namque illud quis confidenter affirmare possit, principium non modo dimidium totius esse, sed etiam ad finem usque pertinere. Qua enim ratione contingere possit, ut praeclare quis exordiatur, nisi ante operis totius perfectionem mente comprehenderit, atque noverit, ubinam, quem ad finem, cuiusque rei causa ad illud moliendum, ac perficiendum accedat? Quo rursus modo fieri queat, ut res ipsas summatim, sicut oportet, complectatur, atque perstringat, qui non una rerum primordia referat, undenam, & quo modo, quaque de causa perventum ad ea sit, de quibus agitur? Quocirca non solum ad dimidium totius pertinere initium credendum est, sed etiam ad finem usque pertingere. Quare sollicita, ac diligens in eo opera ponenda est ab his, qui de rebus universim sive disserere, sive audire aggrediuntur. *Ex l.5.*

XVI. Maximorum operum perfectionem sibi oratione vindicare, perfacile omnino est;

eidem consentanea consequi videbuntur. Demosthenes vero ad eam rem vel exemplo utitur Orat. Olym. 2., inquiens: *Sicuti domus, arbitror, & navigii inferiores partes firmissimas esse oportet, eodem modo actionum primordia veracia, & aequa esse convenit.*

γμασιν ἐφικέσθαι τινὸς τῶν καλῶν, οὐκ εὐμαρές. Διὸ καὶ τὸ μὲν ἐν μέσῳ κεῖται, καὶ πᾶσι κοινὸν, ὡς ἔπος εἰπεῖν, τοῖς τολμᾶν δυναμένοις ὑπάρχει· τὸ δὲ καὶ λίαν ἐστὶ σπάνιον, καὶ σπανίοις συνέδραμε κατὰ τὸν βίον.

ιζ' Τὰς ἀδικίας, καὶ ζημίας ἅπαντες τοῖς ἄρχουσι χειρῶν ἀδίκων ἐπιφέρουσι. Βιβ. ί

ιή Οἱ μὴ δυνάμενοι τοὺς καιροὺς, μηδὲ τὰς αἰτίας, καὶ διαθέσεις ἑκάστων ἀκριβῶς συνθεωρεῖν ἢ διὰ φαυλότητα φύσεως, ἢ δι' ἀπειρίαν, καὶ ῥαθυμίαν, εἰς θεοὺς, καὶ τύχας (α') ἀναφέρουσι τὰς αἰτίας τῶν δι' ἀγχίνοιαν ἐκ λογισμοῦ, καὶ προνοίας ἐπιτελουμένων.

ιθ' Πηλίκην συμβαίνει φαίνεσθαι τὴν διαφορὰν ἐπὶ τῶν αὐτῶν πραγμάτων (β') πρότερον λεγομένων, καὶ πάλιν κατὰ συνήθειαν γιγνομένων. ἐκ

(α') Ἦσαν δηλονότι, οἵπερ ἰδόντες πάντα κατὰ νοῦν, ὅσοις ἐπεχείρει, τῷ Ποπλίῳ Σκιπίωνι προχωρῆσαι, ἐκεῖνον ἤδη μᾶλλον ὡς ἔνθουν, καὶ εὐτυχῆ πως ἄνδρα ἐθαύμαζον, ἢ τῇ θυμοῦ ἀρετῇ, καὶ φιλοπονίᾳ, προνοίαις τε ἄλλαις ἀνέφερον τὰ ποτὲ αὐτῷ εἰργασμένα· μὴ δυνάμενοι ἦγουν, ὡς λέγει Πολύβιος, διὰ σκαιότητα, καὶ ἀπειρίαν τὰς τῶν πραγμάτων αἰτίας, καὶ λόγους ἀκριβῶσαι, ὡς προσήκει.

(β') Νεαρὰν ὁ Συγγραφεὺς, καὶ πρὸ τοῦ δὴ ἀσυνήθη τοῦ ἐν ταῖς

re vero ipſa praeclari aliquid aſſequi, non facile. Quocirca & illud, in medio poſitum, commune omnibus eſt, ut verbo dicam, ſi modo audere aliquid poſſint; & iſtud perrarum, ac paucis admodum in vita obtigit.

XVII. Nemo eſt, qui peccata, & iacturas non adſcribat iis, qui inferendae iniuriae auctores, ac principes extitere. *Ex l.* 10.

XVIII. Solent hi, qui tempora, & opportunitates, cauſaſque, & affectiones rerum ſingularum nequeunt accurate intueri, ac comprehendere, ſive ob pravitatem naturae, ſive ob imperitiam, atque ſocordiam, in deos, atque fortunam (1) res, ſolertia, conſilio, providentiaque geſtas, conferre.

XIX. Quantum diſcriminis intereſſe ſoleat iiſdem in rebus (2), cum primum pronuntiantur, ac deinde, cum ex conſuetudine crebro fiunt, ex multis perſpici poteſt. Nam

(1) Erant ſcilicet nonnulli, qui cum viderent P. Scipioni omnia, quaecumque aggrederetur, ex animi ſententia provenire, eumdem admirabantur magis, tamquam felicem, ac divinum hominem, quam eius virtuti animi, & induſtriae, providentiaeque ea, quae gerebat, adſcriberent: quippe qui, ut ait Polybius, ob imperitiam, & perverſitatem quandam, rerum cauſas, & rationes nequirent diligenter inveſtigare, ac perſpicere.

(2) Cum Scriptor novam, & inuſitatam ſigna facibus dan-

ἐκ πολλῶν εὐχερὲς τῷ βουλομένῳ καταμαθεῖν. Πολλὰ γὰρ οὐ μόνον τῶν δυσχερῶν, ἀλλὰ καὶ τῶν ἀδυνάτων εἶναι δοκούντων κατὰ τὰς ἀρχάς, μετὰ ταῦτα χρόνου, καὶ συνηθείας τυχόντα ῥᾷστα πάντων ἐπιτελεῖται. Τοῦ δὲ τοιούτου λόγου παραδείγματα μὲν πολλὰ καὶ ἕτερα πρὸς πίστιν· ἐναργέστατον δὲ τὸ γινόμενον ἐπὶ τῆς ἀναγνώσεως. ἐπὶ γὰρ ἐκείνης εἴτις παραστησάμενος ἄνθρωπον ἄπειρον μὲν, καὶ ἀσυνήθη γραμματικῆς, τἄλλα δ' ἀγχίνουν· ἔπειτα παιδάριον ἕξιν ἔχον παραστήσας, καὶ δοὺς βιβλίον, κελεύοι λέγειν τὰ γεγραμμένα, δῆλον ὡς οὐκ ἂν δύναιτο πιστεῦσαι, διότι πρῶτον ἐπὶ τὰς ὄψεις τὰς ἰδίας ἑκάστου τῶν γραμμάτων ἐπιστῆσαι δεῖ τὸν ἀναγινώσκοντα, δεύτερον ἐπὶ τὰς δυνάμεις, τρίτον ἐπὶ τὰς πρὸς ἄλληλα συμπλοκάς, ὧν ἕκαστον πόσου χρόνου τινὸς δεῖται; διόπερ ὅταν ἀνεπιστάτως θεωρῇ τὸ παιδάριον ὑπὸ τὴν ἀναπνοὴν ἑπτὰ, καὶ πέντε στίχους συνεῖρον, οὐκ ἂν εὐχερῶς δύναιτο πιστεῦσαι,

---

ἐν ταῖς πολεμικαῖς χρείαις πυρσεύειν τέχνην διδάξας, καίτοι ἐπιπονωτέραν ἀπ' ἀρχῆς εἶναι δοκοῦσαν, οὐκ ἀπογνωστέον ἀποφαίνει δι' ἐμπειρίας, καὶ συνηθείας τὴν ἐκείνης τελείωσιν. Καὶ γὰρ πάντα σχεδὸν τα ἀνθρώπινα δυσχερῆ τὸ πρῶτον, καὶ μοχθηρὰ εἶναι δοκοῦντα, συνήθη γενόμενα, τὸ λοιπὸν εὐμεταχείριστα γίγνεσθαι.

quam plurima, quae principio non ſolum difficilia eſſe, ſed quae nullo modo praeſtari poſſe videbantur, uſu, ac tempore adhibito, deinceps omnium facillime praeſtari conſuevere. Quam ad rem confirmandam cum plurima exempla proferri poſſint, illud omnium clariſſimum eſt, quod ex legendi peritia ſumi poteſt. Si enim quiſpiam coram viro, qui legendi imperitus ſit, idem tamen ſolers, & induſtrius, puerum conſtituat, legendi uſu, peritiaque praeditum, & ei librum tradat, ac iubeat, ut quod ſcriptum eſt, pronunciet, vir ille adduci non poſsit, ut credat, legentem puerum ſingulis quibuſque litteris primum oculos adiicere oportere, deinde vim litterarum comprehendere, tertio mutuos earumdem nexus: quae ſingula ut animadvertantur, quanto opus eſt tempore? Cum itaque viderit puellum quinque, aut ſeptem verſus, quin advertat aliquid, connectere, ac legere ſub uno ſpiritu, difficile credat, non illum antea librum legiſſe; ac ſi iam

is

dandi in bellis artem edocuiſſet, quamvis illa prima fronte operoſior videretur, non eſſe deſperandum oſtendit, quin eadem ex uſu, peritiaque perfici poſſit. Nam humana inventa fere omnia, cum primum difficilia, ac laboris plena eſſe videantur, eadem ex uſu, ac conſuetudine facilia, & expedita redduntur.

σαι, διότι πρότερον ἔτος οὐκ ἀνέγνωκε τὸ βιβλίον· εἰ δὲ καὶ τὴν ὑπόκρισιν, καὶ τὰς αἱρέσεις, ἔτι δὲ δασύτητας, καὶ ψιλότητας δύναιτο συσσώζειν, οὐδὲ τελέως. Διόπερ οὐκ ἀποστατέον οὐδενὸς τῶν χρησίμων διὰ τὰς προφαινομένας δυσχερείας. Προστακτέον δὲ τὴν ἕξιν, ᾗ πάντα τὰ καλὰ γίγνεται θηρατὰ τοῖς ἀνθρώποις. ἄλλως τε καὶ περὶ τῶν τοιούτων, ἐν οἷς πολλάκις κεῖται τὸ συνέχον τῆς σωτηρίας.

κ' Πολλῷ ἐστιν ἄμεινον ὀνειδισθέντας ἐν καιρῷ σωθῆναι μᾶλλον, ἢ πρὸς χάριν ἀκούσαντας, μετ' ὀλίγον ἀπολέσθαι. Βιβ. ιά

κά Εἷς λόγος εὐκαίρως ῥηθεὶς ὑπ' ἀνδρὸς ἀξιοπίστου, πολλάκις οὐ μόνον ἀποτρέπει τῶν χειρίστων, ἀλλὰ καὶ παρορμᾷ πρὸς τὰ κάλλιστα τοὺς ἀνθρώπους· ὅταν δὲ καὶ τὸν ἴδιον βίον ἀκόλουθον εἰσφέρηται τοῖς εἰρημένοις (ά) ὁ παρακαλῶν, ἀνάγκη λαμβάνειν τὴν προφορὰν πίστιν τὴν παραίνεσιν.

κβ' Κα-

(ά) Ὁ Φιλοποίμην, τῶν Ἀχαιῶν στρατηγός, ἀνὴρ καὶ δεξιὸς λέγειν, καὶ φρόνιμος τὴν γνώμην, οἷς δὲ δημηγορῶν ἐφθέγγετο, ἴσα καὶ σύμφωνα κατὰ πᾶσαν τὴν τοῦ βίου δίαιταν ἰδίᾳ πολιτευόμενος, καὶ διὰ τοῦτο ἀξιόπιστος ὢν τοῖς Ἀχαιοῖς, καὶ θαυμάσιος ἀνήρ, ὡς ἔοικε, ῥᾷστα δὴ ἐπει-

is vel pronunciationem, & diſtinctiones, rationeſque ſpirituum ſive aſperorum, ſive lenium unâ legendo tueri poſsit, credat nullo modo. Quamobrem a nulla utiliore re deſiſtendum eſt, propter eas, quae ſe primum nobis obiiciunt, difficultates: uſus vero, exercitatioque adhibenda, qua, quidquid praeclari eſt, levi negotio comparari ab hominibus poteſt: idque praecipue, cum agitur de his, quibus ſumma perſaepe ſalus continetur.

XX. Multo magis praeſtat, tempeſtive obiurgari, ac inde ſalutem conſequi, quam ad voluptatem aures accomodantes, paulo poſt interire. *Ex l.* 11.

XXI. Una oratio a viro fide digno opportune prolata, non ſolum a deterioribus factis avocat homines, ſed etiam ad praeclariſſima quaeque impellit. Cum autem is, qui hortatur quempiam, vel propriam vitam, orationi ſuae conformem (1) attulerit, illud omnino neceſſe eſt, ut huiuſmodi adhortatio praecipuam apud homines fidem nanciſcatur.

XXII.

(1) Philopoemen, Dux Achaeorum, vir & dicendi ſolers, & animo prudens, his vero, quae in publicis concionibus ad populum eloquebatur, parem, & concordem vitae ſuae rationem afferens, omni dignus fide, & admiratione ab Achaeis habebatur. Is ergo facile iiſdem

κβ' Καθάπερ οἱ νοῦν ἔχοντες, ἐπὰν ἀμυνέσθαι κρίνωσι τοὺς ἐχθροὺς, οὐ τοῦτο πρῶτον σκοποῦνται, τί παθεῖν ἄξιός ἐστιν ὁ πλησίον, ἀλλὰ τί ποιεῖν αὐτοῖς πρέπει τοῦτο μᾶλλον, οὕτω καὶ περὶ τῶν λοιδοριῶν οὐ τί τοῖς ἐχθροῖς ἀκούειν ἁρμόζει, τοῦτο πρῶτον ἡγητέον, ἀλλὰ τί λέγειν ἡμῖν πρέπει, τοῦτο ἀναγκαιότατον λογιστέον· περὶ δὲ τῶν πάντα μετρούντων ταῖς ἰδίαις ὁρμαῖς, καὶ φιλοτιμίαις, ἀνάγκη πάνθ' ὑποπίπτειν ἐστὶ, καὶ πᾶσι διαπίπτειν παρὰ τοῦ δέοντος λεγομένοις. Βιβ. ιβ'

κγ' Καί μοι δοκεῖ μεγίστην Θεὸν τοῖς ἀνθρώποις ἡ φύσις ἀποδεῖξαι τὴν ἀλήθειαν, καὶ μεγίστην αὐτῇ προσθεῖναι δύναμιν· πάντων οὖν αὐτὴν καταγωνιζομένων ἐνίοτε, καὶ πασῶν τῶν πιθανοτήτων μετὰ τοῦ ψεύδους ταττομένων, οὐκ οἶδα, πῶς αὕτη δι' ἑαυτῆς εἰς τὰς ψυχὰς ὑποδύεται τῶν ἀνθρώπων, καὶ ποτὲ μὲν παραχρῆμα δείκνυ-

σι

ἔπεισεν ἐκείνους, πρὸς Μαχανίδαν, τύραννον τῶν Λακεδαιμονίων, ἄρασθαι πόλεμον, καὶ μετὰ σπουδῆς τῶν πολεμικῶν ἐπιμεληθῆναι. Ὅθεν μεγίστης αὐτοῖς σωτηρίας, καὶ νίκης αἴτιος ἐγένετο. οὐχ οἷον δὴ, ὧν ἤμελλον ὑπὸ Μαχανίδου πείσεσθαι, δεινῶν αὐτοὺς ἀπαλλάξας· ἀλλὰ καὶ τῶν ὑπαίθρων κρατεῖν ποιήσας, τοὺς πρότου μηδὲ παρατάξασθαι τολμῶντας πρὸς τοὺς πολεμίους.

XXII. Quemadmodum prudentes viri, cum ſuos ulciſci inimicos decreverint, non illud primum ſpectant, quas poenas aequum ſit pendere proximos, ſed potius quid a ſe deceat praeſtari, conſiderant, idem de conviciis dicendum eſt. Neque enim, quid conveniat, ut a nobis audiant inimici, primo in loco ponendum eſt, ſed quid proferre nos deceat, id ſummopere neceſſarium iudicandum. At vero his, qui ſua iracundia, & ambitione cuncta metiuntur, neceſſario omnia ſuccidunt, dictiſque omnibus ab officio deflectunt. *L.* 12

XXIII. Mihi ſane videtur natura hominibus declaraſſe, maximum quoddam Numen eſſe Veritatem, ſeque eidem maximam vim indidiſſe. Igitur, cum omnes eamdem oppugnent, quin & omnis ſaepe veriſimilitudo mendacio favere videatur, & eius partes defendere, ipſa tamen Veritas neſcio quo modo ſubit animos hominum; ac interdum, nullo qui-

dem perſuaſit, ut bellum adverſus Machanidam, Lacedaemoniorum Tyrannum, ſuſciperent, atque illa diligenter curarent, quae ad militiam pertinent. Hinc vero maximam iiſdem ſalutem, ac victoriam attulit; cum ex his malis, ac incommodis ipſos eripiendo, quae, ſi Machanidas viciſſet, certo pertuliſſent, tum efficiendo una, ut aperto in campo rerum arbitri, ac domini eſſent, qui paulo ante nequidem audebant adverſus hoſtes aciem inſtruere.

σι τὴν αὐτῆς δύναμιν, ποτὲ δὲ πολὺν χρόνον ἐπισκοτισθεῖσα, τέλος αὐτὴ δι' ἑαυτῆς ἐπικρατεῖ, καὶ καταγωνίζεται τὸ ψεῦδος. Βιβ. ιγ'

κδ' Τὰ ὑπεραίροντα τὴν κοινὴν συνήθειαν τῶν παρ' ἐνίοις ἐθισμῶν, ὅταν μὲν αὐτοπαθῶς δόξῃ γίγνεσθαι (α') διὰ τὸ μέγεθος τῶν συμπτωμάτων, ἔλεον ἐκκαλεῖται παρὰ τοῖς ὁρῶσι, καὶ τοῖς ἀκούουσι, καὶ συγκινεῖ πως ἕκαστον ἡμῶν ὁ ξενισμός. Ἐπὰν δὲ φαίνεται γοηθείας χάριν, καὶ καθ' ὑπόκρισιν γίγνεσθαι τὸ τοιοῦτον, οὐκ ἔλεον, ἀλλ' ὀργὴν ἐξεργάζεται, καὶ μῖσος. Βιβ. ιέ

κέ Ἐκ πολλοῦ μὲν ἐνίοτε πολλοὶ τῶν ἀδυνάτων ἐφίενται (β') διὰ τὸ μέγεθος τῶν προφαινομέ-

---

(α') Οἱ Καρχηδόνιοι, πολλάκις ἤδη ὑπὸ Ῥωμαίων ἡσσημένοι ἐν τῇ Λιβύῃ, πρέσβεις ἔπεμψαν ἑκάστοτε ἱκετεύοντας, καὶ τεύξεσθαι δεομένους εἰρήνης, καὶ συνθηκῶν. Ὅταν δ' αὖθις ἡ τύχη αὐτοὺς μεταβάλοι εἰς ἐλπίδα κατορθώσεως τινὰ ἐκ παντελοῦς τῶν πραγμάτων ἀπογνώσεως, παρασπονδήσαντες ἀνενεοῦντο τὸν πόλεμον. Τέλος δὲ Ἀννίβου, ὃν ἐξ Ἰταλίας μετεπέμψαντο, Καρχηδόνι τὰ ἔσχατα κινδυνευούσῃ βοηθήσοντα, λαμπρῶς ὑπὸ Ποπλίου Σκιπίωνος νικηθέντος, καὶ ἐκεῖθεν αὐτοῖς σωτηρίας ἐλπίδος πάσης κατεσβεσμένης, πάλιν πρεσβείαν πέμπουσιν, ἀξιοῦντες συγγνώμης, καὶ ἐλέου ἐπιτυχεῖν. Οὐκοῦν οἱ πρέσβεις τῷ τῆς ἱκετείας περιέργῳ πολλὰ δὴ ἀσχημονοῦντες, καὶ φανερῶς δόξαντες τῷ καιρῷ ὑπηρετεῖν, ὀργὴν ἐξέκαυσαν μᾶλλον, ἢ ἔλεον ἐκίνησαν τοῖς παροῦσι, δι' ἣν εἶπεν ὁ Πολύβιος αἰτίαν.

(β') Καλῶς ὁ Εὐριπίδης ἐν τῇ τραγῳδ. Ἴων. οὐ ταὐτὸν εἶδος

quidem interiecto spatio temporis, vim suam, ac potentiam expromit; interdum vero, cum diu obscurata latuerit, per se ipsa emergit ad extremum, ac falsitatem expugnat. *Ex l.* 13.

XXIV. Quae communem usum, & consuetudinem transiliunt, cum ea, vi sua, ac sponte, ob magnitudinem calamitatum, nasci videntur (1), ab his, qui audiunt illa, vel cernunt, commiserationem eliciunt; iamque rei insolentia commovet unumquemque nostrum. Cum vero adblandiendi, & simulandi causa id fieri intelligitur, non misericordiam, sed iracundiam potius, & odium parit.

XXV. Permulti, cum res spectant eminus, concupiscunt ea, quae nullo modo praestari

(1) Carthaginenses, saepius a Romanis in Africa superati, Legatos supplices aliquoties misere, qui pacem, atque foedus impetraret. Cum vero fortuna rursus a summa desperatione ad spem secundi eventus aliquam eosdem erexisset, foedus, atque fidem violantes, bellum renovabant. Ad extremum, cum Annibal, (quem ex Italia accersiverant, ut afflictae Patriae succurreret), clara victoria, a P Scipione devictus fuisset, atque inde omnis salutis spes extincta esset Carthaginensibus, novam mittunt legationem, qua de venia, misericordiaque impetranda supplicarent. Cum itaque Carthaginensium Legati artificiosius, & insolentius, quam par erat, supplicando, indecore multa, & abiecte fecissent, ac visi fuissent aperte inservire temporibus, eos, qui intererant, ad iracundiam potius, quam ad misericordiam excitarunt, ob eam causam, quam hic affert Polybius.

νομένων ἐλπίδων· κρατούσης τῆς ἐπιθυμίας τῶν ἑκάστου λογισμῶν· ὅταν δ' ἐγγίσωσι τοῖς ἔργοις, οὐδενὶ λόγῳ πάλιν ἀφίστανται τῶν προθέσεων, ἐπισκοτούμενοι, καὶ παραλογιζόμενοι τοῖς λογισμοῖς διὰ τὴν ἀμηχανίαν, καὶ δυσχρηστίαν τῶν ἀπαντωμένων. Βιβ. ιϛ'

κϛ' Τὸ τῶν ἀνθρώπων γένος δοκοῦν πανουργότατον εἶναι τῶν ζώων, πολλὴν ἔχει λόγον τοῦ φαυλότατον ὑπάρχειν. Τὰ γὰρ ἄλλα ζῶα ταῖς τοῦ σώματος ἐπιθυμίαις αὐταῖς δουλεύοντα, διὰ μόνας ταύτας σφάλλεται· τὸ δὲ τῶν ἀνθρώπων γένος καὶ προσδεδοξοποιημένον οὐχ ἧττον διὰ τὴν ἀλογιστίαν, ἢ διὰ τὴν φύσιν ἁμαρτάνει. Βιβ. ιζ'

κζ' Ἴσως καὶ ἑτέροις (α') τοῦτο συμβέβηκε, τὸ

εἶδος „ φαίνεταί, φησι, τῶν πραγμάτων πρόσωθεν ὄντων, ἐγγύθεν δ' ὁρωμένων. „ ὃ δὴ πολλοῖς πλάνης αἴτιον ἐγένετο.

(α') Φίλιππος, βασιλεὺς τῶν Μακεδόνων, ὃς ἐν ταῖς εὐπραγίαις ἀβούλως πολλὰ, καὶ προπετῶς εἰργάσατο, ἡττηθεὶς ὑπὸ τῶν Ῥωμαίων, οὕτως ἤνεγκε, καὶ ᾠκονόμησε τὴν δυ-

ſtari poſſunt: illius videlicet, quae inde oſtenditur, ſpei magnitudine illecti (1). Qua in re cupiditas conſilium, ac mentem cuiuſque ſuperat, ac tenet. Cum vero ad res ipſas propius acceſſerint, rurſus, nulla ratione adhibita, a propoſito ſuo reſiliunt, mente obfuſcati, & a veritate plurimum conſiliis aberrantes: propter illa videlicet, quae ſibi obveniunt, impedimenta, & difficultates. *Ex l.16.*

XXVI. Cum genus hominum verſutiſsimum omnium animantium, & callidiſſimum eſſe videatur, non ſine magna cauſa, & ratione omnium eſt deterrimum, ac nequiſsimum. Nam animantes caeteri, qui iiſdem, quibus homo, cupiditatibus inſerviunt, per haſce ſolas in errorem impelluntur. At genus hominum, cum vel prauis imbutum opinionibus ſit, non minus propter rationis vitium, quam propter naturam ad peccandum inducitur. *Ex l.17.*

XXVII. Vel aliis (2) hoc forte accidit, ut, cum

(1) Praeclare Eurip.in Trag.Ion: *Non eadem forma rerum eſt*, inquit, *cum procul ſunt, & cum cernuntur propius*. Quod pluribus erroris cauſa fuit.

(2) Philippus, Rex Macedonum, (de quo ſupra), cum temere multa, & inconſulto, proſpera, ſecundaque in fortuna egiſſet, idem victus a Romanis, ita tulit, ac tempera-

τὸ τὰς ἐν ἐπιτυχίαις ἐξουσίας μὴ δύνασθαι φέρειν ἀνθρωπίνως· ἐν δὲ ταῖς περιπετείαις εὐλαβῶς ἵστασθαι, καὶ νουνεχῶς.

κή Καίτοι τοῖς αὐτοῖς, καὶ διὰ τῶν αὐτῶν ἀπαντῶμεν οἱ πάντες, οὐ δυνάμεθα λῆξαι τῆς ἀνοίας. Τοῦτο γὰρ τὸ γένος τῆς ῥᾳδιουργίας πολλάκις (α') ὑπὸ πολλῶν ἤδη γέγονεν· καὶ τὸ μὲν παρὰ τοῖς ἄλλοις μὴ διαχωρεῖν, ἴσως οὐ θαυμαστόν· τὸ δὲ, παρ' οἷς ἡ πηγὴ τῆς τοιαύτης ὑπάρχει κακοπραγμοσύνης· ἀλλ' ἔστιν αἴτιον τὸ μὴ πρόχειρον ὑπάρχειν τὸ παρ' Ἐπιχάρμῳ καλῶς εἰρημένον „ νῆφε, „ καὶ

δυστυχίαν ἐκείνην, ὥστε καὶ πολλὰ κατορθῶσαι ἐκεῖθεν, μετρίως, καὶ φρονίμως ἐν τοῖς δυσχερέσι τῶν πραγμάτων ἔχοντα· ὅπερ δὴ, ὡς αὐτόθι λέγει ὁ Συγγραφεύς, συνέβη κἂν ἄλλοις. Αἱ γὰρ συμφοραὶ ὡς χαλινῶσαι τοὺς θυμοὺς τῶν ἀνθρώπων, καὶ της περισσοτέρας ὀργῆς, καὶ προθυμίας ἐπισχεῖν πεφυκῆαι, τὸν λόγον ἐγείρουσι, καὶ προτρέπονται τοῖς ὀνεστῶσι προσέχειν τὸν νοῦν.

(α') Τούτου τοῦ τμήματος, ὃ παρὰ Πολυβίῳ μονωθὲν ἐν τῷ κατ' ἐπιτομὴν Ἱστορ. λόγῳ ιζ εὑρίσκεται, τὴν ὑπόθεσιν εἰκάζειν οὐ δυσχερές. Ὡς γὰρ φαίνεται, τὶς τῶν φενακίζειν ἠσκημένων, καὶ ἐξαπατᾷν τοὺς πλησίον, (ὃ δὴ σύνηθες μάλιστα τοῖς ἐν τοῖς βασιλείοις διατρίβουσιν, ὡς ἀλλαχοῦ ἐξηγήσατο Πολύβιος) ὑπ' ἄλλων αὐτὸς ἐξηπατημένος, παρώρμησε τὸν συγγραφέα φθέγξασθαι τὰ εἰρημένα.

cum ſecundis in rebus eam, quam adepti fuerant, potentiam, quemadmodum hominem decet, ferre non poſſent, iidem in adverſis ſtatum ſuum caute, ac prudenter conſervarent.

XXVIII. Etſi eadem ſinguli infortunia per eaſdem res incurramus, a dementia tamen non poſſumus deſiſtere. Iſtud autem fraudis genus (1) ſaepe uſurpatum a pluribus fuit: ac forte minus mirandum ſit, a caeteris illud non recedere, mirum autem debet videri, quod in eos ipſos incidat, penes quos nequitiae, & improbitatis eiuſmodi fons eſt, & origo. Cuius quidem rei ea cauſa eſt, quod minime ſit in promptu praeclarum illud Epi-

 char-

peravit eam calamitatem, ut inde vel emolumenti plurimum extulerit: moderate ſcilicet, ac prudenter adverſis rerum caſibus utendo; quod & aliis, ut ibidem narrat Scriptor, accidit. Namque aerumnae, quibus ea vis ineſt, ut refraenent hominum animos, & immoderatiores eorumdem cupiditates, & impetus comprimant, rationem excitant, atque mentem ad res ſerio conſiderandas, & advertendas impellunt.

(1) Fragmenti huiuſce (quod ab antecedentibus ſeiunctū, & ſolitarium legitur apud Polybium l. XVII. Epito. Hiſt.) haud difficile eſt argumentum coniicere. Nam eorum, ut videtur, quiſpiam, qui in proximis fallendis, ac decipiendis erant exercitati (quod his ſolemne maxime, qui Regum in aulis verſantur, ut alio loco animadvertit Polybius), deceptus ipſe ab aliis, Hiſtoricum impuliſſe cenſendus eſt, ut iſthaec ſcriberet.

„ καὶ μέμνησο ἀπιστεῖν· ἄρθρα ταῦτα τῶν φρε-
„ νῶν.

κθ' Τῶν παραβόλων, καὶ καλῶν ἔργων ἐφίενται μὲν πολλοί, τολμῶσι δὲ ὀλίγοι ψαύειν.

ΤΟΥ ΠΟΛΥΒΙΟΥ ΕΚΛΕΚΤΑ

ΠΟΛΙΤΙΚΑ.

ά Διηγεῖται ὁ Πολύβιος τῶν Ἱστορ. λόγῳ ά, ὅτι τὰ πολιτεύματα Καρχηδονίων, καὶ Ῥωμαίων, συνεχεῖ πολέμῳ ἐκτετριμμένα, ἦν παραπλήσια τοῖς ψυχομαχοῦσι τῶν εὐγενέων ὀρνίθων. Ἐκεῖνοί τε γὰρ πολλάκις ἀπωλελοκότες τὰς πτέρυγας διὰ τὴν ἀδυναμίαν, αὐτῇ δὲ ψυχῇ μένοντες ἐκβάλλουσι τὰς πληγάς. ἕως ἂν αὐτομάτως ποτὲ περιπεσόντες αὐτοῖς, καὶ ῥαδίως ἀλλήλων διαδράξωνται, κἄπειτα, τούτου γινομένου, συμβῇ (ά) τὸν ἕτερον αὐτῶν προπεσεῖν.

β' Οὐδέ-

(ά) Οἱ μὲν Ῥωμαῖοι, καὶ Καρχηδόνιοι οὕτως εἶχον ὑπὸ τῆς πρὸς ἀλλήλους φιλοτιμίας. Ὁ δὲ Καλλίστρατος παρὰ Ξενοφῶντι τῶν Ἑλλην. Ἱστορ. βιβ. ς' παραινῶν Λακεδαιμονίους σπένδειν τοῖς Ἀθηναίοις, εὐβουλότερον λέγει·

„ ἀλ-

charmi effatum: *vigila, ac diffidere memento: hi sunt articuli mentis.*

XXIX. Praeclara facinora, quaeque superant hominum fidem, multi quidem appetunt, sed pauci aggrediuntur.

LOCA E POLYBIO SELECTA
AD REMP. PERTINENTIA.

I. NArrat Polybius l.I. Hist., quod Carthaginensium, ac Romanorum Resp., assiduis inter se bellis exinanitae, eodem se modo habebant, ac generosae quaedam volucres, cum acriter inter se decertant. Nam & illae saepe, cum alas pugnando amiserint, imbecilles factae, se tamen animis sustinent, atque plagas, & ictus in se mutuo iaciunt, quousque ultro irruerint in se ipsas,& expedite altera alteram prehenderit; cumque id factum fuerit, alterutram ante aliam cadere contigerit (1).

 II. Qui

(1) Romani quidem, & Carthaginenses ita erant animati ex mutua inter se ambitione. Callistratus vero apud Xenophontem Graec. Hist. l. 6., suadens Lacedaemoniis, ut cum Athieniensibus foedus, ac pacem inirent, haec meliore consilio pronuntiat, inquiens: *Verumtamen*

β' Οὐδέποτε δεῖ πρὸς τὸ παρὸν μόνον (ά)· ἔτι δὲ μᾶλλον πρὸς τὸ μέλλον ἀποβλέπειν τοὺς ὀρθῶς βουλευομένους.

γ' Οὐ-

,, ἀλλὰ μέν τοι πόλεμοι ἀεί ποτε γίγνονται, καὶ ὅτι
,, καταλύονται, πάντες ἐπιστάμεθα, καὶ ὅτι ἡμεῖς, ἄν
,, μὴ νῦν, ἀλλ' αὖθίς ποτε εἰρήνης ἐπιθυμήσομεν· τί
,, οὖν δεῖ ἐκεῖνον τὸν χρόνον ἀναμένειν, ἕως ἂν ὑπὸ
,, πλήθους κακῶν ἀπείπωμεν μᾶλλον, ἢ οὐχ ὡς τά-
,, χιστα, πρίν τι ἀνήκεστον γενέσθαι, τὴν εἰρήνην ποιή-
,, σασθαι; ἀλλὰ μὴν οὐδ' ἐκείνους ἔγωγε ἐπαινῶ, οἵτι-
,, νες ἀγωνισταὶ γενόμενοι, καὶ νενικηκότες ἤδη πολλάκις,
,, καὶ δόξαν ἔχοντες, οὕτω φιλονεικοῦσιν, ὥστε οὐ πρότε-
,, ρον παύονται πρὶν ἂν ἡττηθέντες τὴν ἄσκησιν κατα-
,, λύσωσιν· οὐδέ γε τῶν κυβευτῶν, οἵτινες αὖ ἐὰν ἕν τι
,, ἀποτύχωσι, περὶ διπλασίων κυβεύουσιν· ὁρῶ γὰρ καὶ
,, τῶν τοιούτων τοὺς πλείους ἀπόρους παντάπασι γιγνο-
,, μένους· ἃ χρὴ καὶ ἡμᾶς ὁρῶντας εἰς μὲν τοιοῦτον ἀγῶνα
,, μηδέποτε καταστῆναι, ὥς τε πάντα λαβεῖν, ἢ πάντα
,, ἀποβαλεῖν· ἕως δὲ ἐῤῥώμεθα, καὶ εὐτυχοῦμεν, φίλους
,, ἀλλήλοις γενέσθαι.

(α') Τῶν Καρχηδονίων πικρῶς πάνυ, καὶ ὑπερηφάνως τῆς Λιβύης ἀρχόντων, καὶ αὐτὴν ἐκτρυχάντων ἀμέτροις ἤδη φόροις, ἀποστάσεως τῶν δυνάμεων γενομένης, ἡ Λυβία ἅμα πᾶσα, ταῖς προλαβούσαις ὕβρεσι δυσχεράνασα, συνεξεκαύθη πρὸς τὸν πόλεμον· ὥστε τοὺς Καρχηδονίους, εἰς ἀπορίαν μεγίστην, καὶ ταραχὴν καθεστῶτας, ἀναγκάζεσθαι οὐχ οἷον περὶ τῆς ἀρχῆς, ὡς πάλαι πρὸς τοὺς Ῥωμαίους, ἀλλὰ καὶ περὶ τοῦ τῆς πατρίδος αὐτῶν ἐδάφους, καὶ τῶν κατ' ἰδίαν βίων εἰς κίνδυνον ἐλθεῖν. Ὁ τοίνυν συγγραφεὺς παραινεῖ τοὺς τῶν πόλεων ἄρχοντας, ὡς ἐπὶ τοσοῦτον καρποῦ τοῦ παρόντος, καὶ δυνάμεως, ὡς τῆς μελλούσης σωτηρίας ἔννοιαν λαβεῖν.

II. Qui praeclare volunt rebus consulere, non solum praesens tempus spectare debent, sed etiam, ac multo quidem magis (1) ad illud, quod futurum est, consilia referre.

D 4 III. Nul-

men bella quidem semper nascuntur : illudque omnibus perspicuum est, quod & dissolvantur : ac nos, si minus hoc tempore, rursus aliquando pacem expetemus. Quid ergo illud temporis expectandum est, quo malorum multitudine oppressi, fracti, ac debilitati simus, potius quam celerrime pacem faciamus : antequam aliquid eiusmodi malum eveniat, quod nullo remedio curari possit? Verum enim vero nec illos ego laudo, qui cum certaverint, ac saepe victores discesserint, & gloria antecellant, ea sunt ambitione, ut non antea quiescant, quam superati a bello desistant : neque eos aleatores probo, qui cum aliquid non assequuti fuerint, de duplo aleam tentant. Horum enim plures ego novi plane inopes esse factos. Quae & nos considerantes oportet, nunquam in illud venire certamen, ut aut omnia capiamus, aut omnia amittamus. Quoad vero satis validi, ac felices sumus, amici mutuo evaderi debemus.

(1) Cum Carthaginenses superbum, & acerbum Imperium in Africa exercerent, atque eamdem immodicis tributis extrivissent, quo tempore stipendiariae copiae ab iisdem desciverunt, unà Lybia omnis, aegre ferens eas, quibus afflicta fuerat, iniurias, ad bellum contra Carthaginenses gerendum incensa est. Unde hi ad graves angustias, ac perturbationes redacti sunt, nec de imperio tantum, ut olim adversus Romanos, sed etiam de ipso solo patriae, deque privatis eorum vitis in periculum, ac discrimen venire sunt coacti. Quocirca Historicus eos monet, qui rebus publicis praesunt, non tam de praesente fructu, atque potentia, quam de futura salute, & utilitate in cogitationem venire.

γʹ Οὐδέποτε χρὴ τὰ τοιαῦτα παρορᾷν (αʹ), οὐδὲ τηλικαύτην οὐδενὶ συγκατασκευάζειν δυναστείαν, πρὸς ἣν οὐδὲ περὶ τῶν ὁμολογουμένων ἐξέσται δικαίων ἀμφισβητεῖν.

δʹ Οἱ Αἰτωλοὶ τῇ παραδόξῳ χρησάμενοι συμφορᾷ, πάντας ἐδίδαξαν, μηδέποτε (βʹ) βου-

λεύε-

(αʹ) Ἱέρων, τύραννος ὢν τῆς Σικελίας, σύμμαχος δὲ τῶν Ῥωμαίων, καὶ πρότου τοῖς Καρχηδονίοις πολέμιος, ὅμως τούτοις δὴ, τὰ μέγιστα κινδυνεύουσιν ἐν τῷ κατὰ Λιβύην πολέμῳ, παντοδαπὰς χορηγίας ἐπόριζε· νοήσας τοῖς αὐτοῦ πράγμασι λυσιτελήσειν ἐπὶ πολὺ, ἄρδην οὐκ ὀλέσθαι τοὺς Καρχηδονίους· ὥστε μονωθέντα ἤδη αὐτὸν ἐγχειρισθῆναι τοῖς Ῥωμαίοις, οὐκ ἔχοντα, ὅπως αὐτοῖς χρήσαιτο, ἀμφισβητῶν περὶ δικαίων· ἀλλὰ καὶ πρὸς τὴν βεβαίωσιν τῆς τῶν Ῥωμαίων πρὸς αὐτὸν φιλίας οὐχ ἥκιστα συμφέρειν ᾤετο, οὐκ ἀδεῶς πανταχῆ, καὶ ἀφροντίστως διαζῆν τοὺς Ῥωμαίους.

(βʹ) Οἱ Αἰτωλοὶ δηλονότι ἐπολιόρκουν τοὺς Μυδιωνίους πανδημεί, μηχανὴν πᾶσαν, καὶ σπουδὴν ἅμα προσφέροντες· ὥστ᾽ ἐκείνους κάκιστα διακειμένους ἀν᾽ ἑκάστην ἡμέραν μέλλειν ἐνδώσειν αὐτοῖς. Ἐν δὲ τῷ μεταξὺ, συνάψαντος τοῖς Αἰτωλοῖς τοῦ τῶν ἀρχαιρεσιῶν χρόνου, καὶ μέλλοντος (ὡς ἔθος παρ᾽ αὐτοῖς) τοῦ νέου στρατηγοῦ διαδέχεσθαι τὸν προϋπάρχοντα, οὗτος ἀξιοῖ τὸν Αἰτωλῶν δῆμον, ἑαυτῷ τὴν τῶν λαφύρων οἰκονομίαν, καὶ τῶν ὅπλων ἐπιγραφὴν συγχωρεῖν· τῷ τῆς κακοπαθείας ὅτι πλεῖστα μετεσχηκότι διὰ πολέμου, καὶ τῶν κινδύνων. Τοῖς δὲ Αἰτωλοῖς δέδοκται, αὐτὴν ἐξ ἴσου κοινὴν γενέσθαι ἀμφοτέροις. Ἐν δὲ τῷ μεταξὺ χρόνῳ πεντακισχίλιοι τῶν Ἰλλυριῶν νυκτὸς βοηθοὶ παραγίγνονται τοῖς Μυδιωνίοις, καὶ τὴν πολιορκίαν διαλύουσι· πλείστους δὲ τῶν Αἰτω-

λῶν

III. Nullo unquam tempore res huiusmodi (1) negligendae sunt, nec cuiquam eiusmodi potestas est comparanda, adversus quam non liceat nec de certo iure disceptare.

IV. Aetoli inopinatam in calamitatem cum incidissent (2), cunctos edocuerunt, ita nun-

(1) Hiero, Siciliae Tyrannus, cum is Romanorum socius esset, & amicus, idemque non multo ante hostis fuisset Carthaginensium, attamen cum hi in eo bello, quod adversus rebelles in Africa gesserunt, gravissimum in discrimen rerum suarum venissent, haud destitit multiplices iisdem copias suppeditare: putans rebus suis conducere, ne Carthaginenses funditus interirent: quibus deletis, solus ipse, desertus ab omnibus, Romanis in manus daretur, quibuscum, nonnisi iniqua conditione, ac dispare loco, posset de iure disceptare. Quin vel ad diuturnitatem pacis, ac foederis, quod cum Rom. inierat, conferre existimabat, ne illi securi plane, & ab omni sollicitudine distracti viverent.

(2) Aetoli nimirum Mydionios omnibus copiis oppugnabant, & omne ad eam rem studium, ac molitionem adhibebant: ita ut Mydionii, pessime vexati, & afflicti, sese propediem essent dedituri. Interea Comitia Aetolorum instabant: cumque novus esset creandus Imperator, pro eorum consuetudine, ac more, qui in locum veteris succederet; hic Aetolorum populum rogat, ut distributio spoliorum, & armorum inscriptio sibi permitteretur, qui maximam laborum, periculorumque partem in illo bello sustinuerat. Porro Aetoli decreverunt, ut illa fierent utrique communia. Interea quinque mille Illyriorum noctu appellunt, Mydioniis opem laturi, suoque adventu obsidionem solvunt; Aetolos praelio superant, ac plures occidunt. Hinc Mydionii, insperatam salutem ade-

λεύεσθαι περὶ τοῦ μέλλοντος, ὡς ἤδη γεγονότος, μηδὲ προκατελπίζειν βεβαιωμένους, ὑπὲρ ὧν ἀκμὴν ἐνδεχόμενόν ἐστιν ἄλλως γενέσθαι· νέμειν δὲ μερίδα τῷ παραδόξῳ, πανταχῇ μὲν ἀνθρώπους ὄντας, μάλιστα δὲ ἐν τοῖς πολεμικοῖς. Βιβ. β'

έ Τοὺς ἐπὶ τῶν πραγμάτων ταττομένους χρὴ τῶν τοιούτων οὐδενὸς μᾶλλον φροντίζειν, ὥστε μὴ λανθάνειν τὰς προαιρέσεις τῶν διαλυομένων τὰς ἔχθρας, ἢ συντιθεμένων τὰς φιλίας (α'), πότε τοῖς καιροῖς εἴκοντες, καὶ πότε ταῖς ψυχαῖς ἡττώμενοι

λῶν μάχῃ νικήσαντες ἀποκλείνουσιν. Οἱ δὲ Μυδιώνιοι ἐπιτυχόντες ἀνελπίστου σωτηρίας, ψηφίζονται παρὰ τὸ τῶν Αἰτωλῶν δόγμα γεγενημένον „ ἐπιγραφὴν τῶν ὅπλων κοι„ νὴν ποιήσειν, ἀπό τε τοῦ τὴν ἀρχὴν τῶν Αἰτωλῶν „ ἔχοντος, καὶ τῶν εἰς τὸ μέλλον προπορευομένων τῆς „ τύχης (ὡς ὑποτίθησιν ὁ Πολύβιος), ὥσπερ ἐπίτηδες „ καὶ τοῖς ἄλλοις ἀνθρώποις ἐπὶ τῶν ἐκείνοις συμβαινόν„ των ἐνδεικνυμένης τὴν αὐτῆς δύναμιν.

(α') Ἀμίλκας, τῶν Καρχηδονίων στρατηγὸς, Ἀννίβου δὴ πατὴρ, γενναίως πάνυ, καὶ ἀνδρείως διῳκήκει τὸν πρὸς Ῥωμαίους πόλεμον ἐν τῇ Σικελίᾳ. Τοῖς δὲ τῶν Καρχηδονίων πράγμασιν ἐναντιουμένης κατὰ θάλασσαν τῆς τύχης, σπένδειν ἠναγκάσθη τοῖς Ῥωμαίοις, εἴξας τοῖς καιροῖς· ἀνὴρ ἄλλως γε πολεμιώτατος ὢν ἐκείνοις· ὁ καὶ τὸν υἱὸν Ἀννίβαν προαγαγὼν οὐ μετὰ πολὺ, τῶν ἱερείων ἁψάμενον ὀμόσαι, μηδέποτ' ἂν αὐτὸν εὐνοήσειν τῷ τῶν Ῥωμαίων κοινῷ. Τοιγαροῦν ὁ Πολύβιος τοὺς ἐπὶ τῆς πολιτείας δημοσίᾳ ταττομένους διαγνῶναι σαφῶς βούλεται, οἷον ἔχων πώς τις θυμὸν, καὶ προαίρεσιν, ἔχθραν διαλύει,

nunquam de futuris rebus consilia inire, ac si iam illae factae accidissent, neque certã de his, atque firmam spem ante concipere, quae aliter, atque homines opinentur, possunt cõtingere : aliquid autem vel insperatis rerum casibus concedere, cum omni in re, quippe qui homines sumus, tum maxime in bellicis.

V. Nulla de re magis eos, qui publicis negotiis gerendis praesunt, sollicitos esse oportet, quam ne ignorent illorum proposita, & studia, qui dissolvunt inimicitias, aut amicitias coniungunt: quando nimirum cedentes temporibus (1), quando animis victi foedera

adepti, decernunt & ipsi secundum decretum, sententiamque Aetolorum : *ut armorum inscriptio foret communis, ab eo exordiendo, qui tunc temporis imperabat apud Aetolos, & deinceps in reliquos : penes quos ea potestas in posterum tempus fuisset*; *fortuna* (ut subdit Polybius) *tanquam de industria vim suam, ac potentiam in eo, quod tunc illis accidit, vel caeteris hominibus ostendente*.

(1) Amilcar, Carthaginensium Imper., Annibalis pater, bellum adversus Rom. fortiter, ac viriliter in Sicilia administraverat. Cum autem maritimae res Carthaginensibus minus commode cecidissent, coactus est temporibus cedere, foedusque inire cum Romanis; vir caeteroquin iisdem infensissimus, qui & Annibalem filium non multo post adduxit, ut, extis in sacrificio tactis, iuraret, se nunquam Romanis amicum futurum. Quocirca praecipit Polybius, ut ii, qui gerunt Resp., clare perspiciant, quo

μῦροι ποιοῦνται τὰς συνθήκας· ἵνα τοὺς μὲν ἐφέδρους νομίζοντες εἶναι τῶν καιρῶν, ἀεὶ φυλάττωνται· τοῖς δὲ πιστεύοντες ὡς ὑπηκόοις, καὶ φίλοις ἀληθινοῖς, πᾶν τὸ παραπίπτον ἐξ ἑτοίμου παραγγέλλωσι. Βιβ. γ'

ς' Τί ὄφελος ἰατροῦ κάμνουσιν, ἀγνοοῦντος τὰς αἰτίας τῶν περὶ τὰ σώματα διαθέσεων; τί δὲ ἀνδρὸς πραγματικοῦ, μὴ δυναμένου συλλογίζεσθαι, πῶς, καὶ διὰ τί, καὶ πόθεν ἕκαστα τῶν πραγμάτων τὰς ἀφορμὰς εἴληφεν; οὔτε γὰρ ἐκεῖνον εἰκὸς, οὐδέποτε δεόντως στήσασθαι τὰς τῶν σωμάτων θεραπείας, οὔτε τὸν πραγματικὸν οὐδὲν οἷόν τε κατὰ τρόπον χειρίσαι τῶν περιπιπτόντων, ἄνευ τῆς τῶν προειρημένων ἐπιγνώσεως.

ζ' Μηδέποτε οὐδὲν διαφέρει τὰ κατ' ἰδίαν ἀδικήματα τῶν κοινῶν· ἀλλὰ πλήθει μόνον, καὶ μεγέθει τῶν συμβαινόντων. Καὶ γὰρ κατ' ἰδίαν τὰ τῶν

λύει, ἢ φιλίαν συντίθεται· μέγα συμφέρειν κατὰ τὸ εἰκὸς ἡγούμενος τοῖς πράγμασιν, ὑπούλους ἐχθροὺς, καὶ ἐπιβούλους ἀντὶ φίλων μὴ κεκλῆσθαι.

dera ineant: quo & illos temporibus insidiari arbitrentur, ac caveant semper, & observent: & hisce fidem praestent, ac tamquam veris amicis, sincerisque, quidquid agendum inciderit, sine cunctatione denuntient. *Ex l. 3.*

VI. Quid aegris prodesse medicus potest, si eas causas ignoret, a quibus variae humani corporis affectiones nascuntur? quid vero adiumenti, ac fructus afferat is, qui accedit ad res gerendas, si nequeat ratiocinando cõprehendere, quo modo, & qua de causa, & unde singula negotia suas causas, & principia nacta sint, e quibus existerent? Neque enim fieri potest, ut idem apte, ac convenienter illa statuat aliquando, quae ad corpora curanda pertinent; neque is, cui negotia administranda, praeclare tractet, quodcumque rerum inciderit, nisi illa, quam diximus, scientia fuerit praeditus.

VII. Privatorum scelera, atque peccata nihil unquam a publicis, nisi sola eventuum magnitudine, ac numero, differunt. Namque vel fures privatim, & facinorosi homines

---

quo quis animo, ac proposito aut dissolvit inimicitias, aut iungit amicitiam, merito existimans, plurimum rebus conducere, ne occulti, & insidiosi inimici pro amicis habeantur.

τῶν ῥαδιουργῶν, καὶ κλεπτῶν φῦλον (α') τούτῳ μάλιστα τῷ τρόπῳ σφάλλεται· τῷ μὴ ποιεῖν ἀλλήλοις τὰ δίκαια, καὶ συλλήβδην ταῖς εἰς αὐτοὺς ἀθεσίαις. Βιβ. δ'

η' Ἅπαντες ἡγεμονικοὶ (β'), καὶ φιλελεύθεροι ταῖς φύσεσιν ὄντες μάχονται συνεχῶς πρὸς ἀλλήλους, ἀπαραχωρήτως διακείμενοι περὶ τῶν πρωτείων. Βιβ. ε'

θ' Εἰ

(α') Σκερδιλαΐδας, ἀρχὸς τῶν Ἰλλυριῶν, φιλίαν, καὶ συμμαχίαν συνέθετο τοῖς Αἰτωλοῖς πρὸς τοὺς Ἀχαιοὺς, ὑποσχομένοις αὐτῷ λείας μέρος τὶ μεταδώσειν, πόνων δὴ μετεσχηκότι, καὶ τῶν κινδύνων. Οἱ δὲ τὴν τῶν Κυναιτέων ἐξελόντες αὖ πόλιν, καὶ πλῆθος λαφύρων ἐξαγαγόντες, ὧν ἐσκύλευσαν, οὐδὲν μετέδοσαν ἐκείνῳ· ὃ δὴ αἴτιον ἐγένετο τοῦ Σκερδιλαΐδαν, αὐτῶν ἀποστάντα, Φιλίππῳ συνθέσθαι, καὶ τοῖς Ἀχαιοῖς πρὸς ἐκείνους. Ὡς γὰρ καλῶς λέγει ὁ Πολύβιος, δι' αὐτῶν αἵ τε πόλεις ἁμαρτάνουσι, καὶ οἱ κατ' ἰδίαν ἄνθρωποι· καὶ ὃν τρόπον αἱ πλεονεξίαι τοιαῦται, καὶ ἀδικίαι τοὺς κατ' ἰδίαν ἄνδρας ἀπαλλοτριῶσαι πεφύκασιν ἀλλήλων, ὅταν κέρδους τινὸς, καὶ πόνων εἰς κοινωνίαν ἔλθωσιν, οὐκ ἄλλως αἱ πόλεις ταῖς εἰς τοὺς συμμάχους ἀδικίαις, αὐτοὺς δὴ ἀφιστᾶσι τῆς εἰς τὸ κοινὸν ὠφελείας.

(β') Οὕτως οἱ Πελοποννήσιοι (καθὼς ὁ Συγγραφεὺς διηγεῖται) πάντων οἰκειότατα ἔχοντες πρὸς τὸν ἥσυχον, καὶ ἥμερον βίον, ἥκιστα πάντων ἀπήλαυον αὐτοῦ. τοῖς προσχώροις ἀεὶ πολεμοῦντες, ἄλλοις τε Ἕλλησι, καὶ ὡς εἶπεν Εὐριπίδης „ἦσαν ἀεὶ πλησίμοχθοί τινες, καὶ οὔποτε ἥσυχοι δορί,„ διὰ τὸ φιλελευθέρους ἤγουν αὐτοὺς, καὶ ἡγεμονικοὺς εἶναι· ὅπερ καὶ ἄλλοις ὁμοίως ἔθνεσι συμβαίνει, ἀγωνιζομένοις πρὸς ἄλληλα περὶ τῶν πρωτείων.

nes peccant in eo, atque falluntur, si erga se mutuo aequitatem non tueantur (1), ac, ut summatim dicam, si impie in se vicissim aliquid admiserint. *Ex l.* 4.

VIII. Qui indolem habent ad imperandum comparatam (2), ac libertatis amantes sunt, continuo inter se decertant, nec adduci possunt, ut alter alteri concedat principatum. *Ex l.* 5.

IX. Si

(1) Scerdilaidas, dux Illyriorum, amicitiam, ac belli societatem cum Aetolis adversus Achaeos inierat; ea conditione, ut illi certam sibi spoliorum partem concederent, siquidem in societatem laborum, atque periculorum venisset. Igitur cum Aetoli urbem Cynaetensium expugnassent, ac multa inde spolia extulissent, nullam eorum partem Scerdilaidae concesserunt. Quod in causa fuit, cur is ab Aetolis discederet, ac belli societatem adversus ipsos cum Philippo, & Achaeis iniret. Nam, ut recte ait Polybius, per eadem peccant Civitates, ac privatim homines; ut cum hi in communionem lucri, atque laborum aliquam venerint, ob eiusmodi scelera, atque peccata, a se mutuo abalienentur; itemque Civitates, cum in belli socios peccaverint, ob eamdem caussam ab afferenda Reip. utilitate eosdem removeant.

(2) Ita Peloponnesii, ut narrat Polybius, cum omnium maxime ad quietum, ac mite vivendi genus essent comparati, eius usura quam minimum fruebantur, assiduum cum vicinis civitatibus, Graecisque aliis bellum gerentes; atque, ut ait Euripides: *vicinis assidue molesti erant, nec unquam a pugnando quiescebant*: propterea quod libertatis studiosissimi essent, atque indole praediti, ad imperandum caeteris facta: quod & populis fere aliis pari modo contingit, qui de Imperio ad invicem certant.

θ' Εἰ ἧς πάντες εὐχόμεθα τοῖς θεοῖς τυχεῖν, καὶ πᾶν ὑπομένομεν ἱμείροντες αὐτῆς μεταχεῖν· καὶ μόνον τοῦτο τῶν νομιζομένων ἀγαθῶν ἀναμφισβήτητόν ἐστι παρ' ἀνθρώποις, λέγω δὲ τὴν εἰρήνην, ταύτην δυνάμενοί τινες μετὰ τοῦ δικαίου, καὶ καθήκοντος εἰς πάντα τὸν χρόνον ἀδιάφορον κτᾶσθαι, παρολιγωροῦσιν, ἢ προὐργιαίτερόν τι ποιοῦνται τούτου, πῶς οὐκ ἂν ὁμολογουμένως ἀγνοεῖν δόξειαν;

ι' Ἐγὼ μὲν φοβερὸν εἶναί φημι τὸ πολεμεῖν· οὐ μὴν οὕτωγε φοβερὸν, ὥστε πᾶν ὑπομένειν χάριν τοῦ μὴ προσδέξασθαι πόλεμον· ἐπεὶ τί καὶ θρασυνόμεθα τὴν ἰσηγορίαν, καὶ παῤῥησίαν, καὶ τὸ τῆς ἐλευθερίας ὄνομα πάντες, εἰ μηδὲν ἐστι προὐργιαίτερον τῆς εἰρήνης; Οὐδὲ γὰρ Θηβαίους ἐπαινοῦμεν κατὰ τὰ Μηδικὰ, διότι τῶν ὑπὲρ τῆς Ἑλλάδος ἀποστάντες κινδύνων, τὰ περὶ ὧν ἐκινδύνευον εἵλοντο διὰ τὸν φόβον· οὐδὲ τὸν (α') Πίν-

(α') Οὐκ ἄλλως ἕτερός τις, οὗ μνείαν ὁ Πολύβιος ποιεῖται ἱστορ.

IX. Si quam omnes a diis precamur, & exoptamus, eiusque incensi desiderio, nihil non perferendum ducimus: & illa una prope est inter caetera, quae bona esse existimantur, de qua ad unum omnes idem sentiant, pacem vero dico: si inquam, hanc aliqui, cum officio, & aequitate, salvam in omne tempus, & integram, sine ulla controversia, tueri possunt, idque praetermittunt, aut negligunt, aut quidquam aliud sibi pluris faciendum arbitratur, quid ni in suma rerum omniũ ignoratione sine dubio isti versari iudicandi sunt?

X. Ego sane illud affirmo, bellum horribile esse, ac formidolosum; non eo usque tamen metuendum esse, ut quidvis sufferas potius, quam bellum suscipias. Quorsum enim iuris aequabilitatem, ac libertatem loquendi, ipsius denique libertatis nomen tam confidenter omnes usurpamus, si nihil est pace praestantius? Neque vero Thebanos laudamus; quod in eo bello, quod cum Medis gestum est, a communibus Graeciae periculis seiunxerint sese, & ea, de quibus in periculum, ac discrimen vocabantur, praetulerint communi libertati ob timorem. Neque (1)

(1) Non aliter quidam alius (de quo mentionem facit Poly-

Πίνδαρον, τὸν συμπαραφηνάμενον αὐτοῖς ἄγειν τὴν ἡσυχίαν διὰ τῶνδε τῶν ποιημάτων ,, τὸ κοινόν τις τῶν ἀστῶν εὐδιατιθεὶς ἐρευνησάτω με- ,, γα-

---

ἱστορ. λογ. ιγ΄, ἐνεκωμίαζεν καθ᾽ ὑπερβολήν, λέγων· ,, δεῖν ἀναμνησθῆναι τοὺς συνέδρους, διὸ κοιμωμένους τὸν ,, ὄρθρον ἐν μὲν τῷ πολέμῳ διεγείρουσιν αἱ σάλπιγγες, ,, κατὰ δὲ τὴν εἰρήνην οἱ ὄρνιθες . . . ἔτι δὲ πρὸς τού- ,, τοις ὁμοιότατον μὲν εἶναι τὸν πόλεμον τῇ νόσῳ· τὴν ,, δ᾽ εἰρήνην τῇ ὑγιείᾳ· τὴν μὲν γὰρ τοὺς κάμνοντας ,, ἀναλαμβάνειν· ἐν ᾧ καὶ τοὺς ὑγιαίνοντας ἀπόλλυ- ,, σθαι· καὶ κατὰ μὲν τὴν εἰρήνην τοὺς πρεσβυτέρους ,, ὑπὸ τῶν νέων θάπτεσθαι κατὰ φύσιν· ἐν δὲ τῷ πο- ,, λέμῳ τἀναντία. τὸ δὲ μέγιστον, ἐν μὲν τῷ πολέμῳ ,, μηδ᾽ ἄχρι τῶν τειχῶν εἶναι τὴν ἀσφάλειαν· κατὰ δὲ ,, τὴν εἰρήνην μέχρι τῶν τῆς χώρας ὅρων ,,. Τούτων δὲ, ὧν ἔλεγε, πρὸς βεβαίωσιν τὸ τοῦ Εὐριπίδου προύφερεν, εἰπόντος ,, εἰρήνα βαθύπλουτε, καλλίστα μακάρων θεῶν· ,, ζῆλός μοι σέθεν, ὡς χρονίζεις· δέδοικα δὲ, μὴ πρὶν ἂν ,, ὑπερβάλῃ με γῆρας πρὶν, ἂν χαρίεσσαν προσιδεῖν ὥραν, καὶ ,, καλλιχόρους ἀοιδὰς, φιλοστεφάνους τε κώμους ,,. ἀλλὰ διελεῖν εἰκός, ὡς καὶ ὁ Πολύβιος καλῶς ἐποίησε, ποίαν, καὶ τίνα πως αἱρετέον εἰρήνην, ἢ μή; Τὴν γὰρ μετὰ τοῦ καθήκοντος ὁμολογοῦσι δὴ πάντες καλλίστην τε τῶν ἀνθρωπίνων πραγμάτων, καὶ ὠφελιμωτάτην εἶναι· ἄνευ δὲ τούτου μήτε πρέπειν, μήτε λυσιτελεῖν. Πάλιν δὲ τὸν πόλεμον δεινὸν μὲν χρῆμα, καὶ φοβερὸν εἶναι· ὅμως δ᾽ ἀναγκαῖον ἑκάστοτε γίγνεσθαι, μηδ᾽ οἷόν τε βεβαίαν χωρὶς αὐτοῦ τὴν εἰρήνην κεκτῆσθαι τοὺς ἀνθρώπους. Καλῶς οὖν Θουκυδίδης ἱστορ. βιβ. β ,, οἷς μὲν αἵρεσις, φησὶ, γεγένηται τἄλλα εὐτυχοῦσι, ,, πολλὴ ἄνοια πολεμῆσαι· εἰ δ᾽ ἀναγκαῖον ἢ εἴξαντας ,, εὐθὺς τοῖς πέλας ὑπακοῦσαι, ἢ κινδυνεύσαντας πε- ,, ριγενέσθαι, ὁ φεύγων τὸν κίνδυνον τοῦ ὑποστάντος μεμ- ,, πτότερος.

Pindarus commendandus, qui Thebanis iisdem pacis, ac tranquillitatis studium conciliavit per eiusmodi carmina: *Remp. praeclare*

E 2 *con-*

Polybius l. XIII.) pacem supra modum laudando extollebat, aiebatque inter caetera: *quod eius Collegae meminisse deberent, uti mane cubantes in bello tubae, in pace galli excitent: praeterea, bello morbum, paci sanitatem simillimam esse: hanc quippe aegros solum tollere de medio, in bello vel sanos, ac integros interire: atque in pace senes a iuvenibus secundum naturam humari, in bello e contra. Quod autem praecipuum est, in bello securitatem ne ad ipsa quidem urbis moenia pertingere, pacis vero tempore ad regionis usque terminos porrigi.* Quibus ut momentum adderet, illud Euripidis proferebat; qui ait: *o pax opulenta, pulcherrima immortalium Deorum! anxio ego tui amore teneor; pro illa, quam ducis, mora sollicitus. Vereor enim, ne me ante superet senectus, quam iucundam tempestatem videro, & cantus, chorearum comites, ac commessationes, quae sertis delectantur, percepero.* Sed distinguendum, ut Polybius praestitit, quaenam optanda pax sit, quaeque reiicienda: Illam enim, quae cum officio coniuncta est, rerum omnium humanarum pulcherrimam, atque utilissimam esse omnes consentiunt; quae vero ab illo seiungitur, nec decere potest, nec conducere. Rursus vero bellum per se quidem horribile, ac reformidandum est: nonnumquam tamen fit necessarium, nec sine illo diuturna pax esse potest. Quo circa Thucidides praeclare l. 2. Histor. aiebat: *Qui, suo arbitratu, beate, feliciterque vivere possunt, si bella gerere velint, omnium dementissimi sunt iudicandi: Quod si necesse fuerit, aut vicinis cedere confestim, & ab iisdem opprimi servitute; aut in discrimen venire, ac vincere, multo magis reprehendendus is, qui fugit, quam qui se periculo obiicit.*

„ γαλάνορος ἡσυχίας τὸ φαιδρὸν φάος (α). „ Δόξας γὰρ παραυτίκα πιθανῶς εἰρηκέναι, μετ' οὐ πολὺ πάντων αἰσχίστην εὑρέθη, καὶ βλαβερωτάτην πεποιημένος ἀπόφασιν. Εἰρήνην μὲν γὰρ μετὰ μὲν τοῦ δικαίου, καὶ πρέποντος κάλλιστόν ἐστι κτῆμα, καὶ λυσιτελέστατον, μετὰ δὲ κακίας, ἢ δειλίας ἐπονειδίστου, πάντων αἴσχιστον, καὶ βλαβερώτατον.

ιά Τί ἐπισφαλέστερον ἀστυγείτονος φαύλου, καὶ βαρβάρου πολέμου τί δεινότερον;

ιβ' Βραχεῖς πάνυ καιροὶ πάντας μὲν ἀνθρώπους ὡς ἐπίπαν μὲν ὑψοῦσι, καὶ πάλιν ταπεινοῦσι· μάλιστα δὲ τοὺς ἐν τοῖς βασιλείοις (β). Ὄν-

---

(ά) Ὁ τόπος οὗτος τοῦ Πινδάρου ὧδ' ἔχει παρὰ Στοβαίῳ ἐν τῷ περὶ της ἡσυχίας λόγῳ·

Τὸ κοινόν τις αστῶν ἐν εὐδίᾳ καταθεὶς
ἐρευνησάτω μεγαλάνορος ἡσυχίας
Ἱερὸν φάος· στάσιν ἀπὸ πραπίδος
ἐπικόπτων ἀνέμων, πενίας δότειραν,
Ἐχθρὰν κουροτρόφων.

(β) Ὁ Ἀπελλῆς δηλονότι οἰκεῖος τὸ πρὶν, καὶ πάντων χαριέστατος ὢν τῷ Φιλίππῳ, καὶ ἔστιν ὅτε τὰ μέγιστα τῶν πραγμάτων ἐπιτετραμμένος, πρὸς τελευταῖον καταληφθεὶς ἐναντία φρονεῖν, καὶ πράττειν τῷ βασιλεῖ δι' ἰδίαν

που

conſtituens (1), *quiſpiam civium magnanimae quietis inveſtiget ſplendidam lucem*. Cum enim continuo videatur, probabiliter fuiſſe loquutus, non multo poſt omnium turpiſsimam, pernicioſiſſimãque ſententiã protuliſſe deprehenditur. Pax namque, ſi quidem cum aequitate, àc decore coniuncta fuerit, pulcherrima, atque utiliſſima res eſt; eademque dedecoris, ac damni pleniſſima, ſi cum probroſa ſervitute, ac nequitia coniungitur.

XI. Quid improbo vicino periculoſius, quid eo bello horribilius, quod cum barbaris ſuſcipitur?

XII. Exigua omnino temporum momenta ut plurimum extollere omnes homines, ita & deprimere poſſunt; eos vero inprimis, qui in regiis degunt (2). Etenim hi calculis iis per-

(1) Hic Pindari locus ita legitur apud Stobaeum in Tractatu de tranquillitate:

Remp. poſtquam civium aliquis pacato in ſtatu poſuerit,
Inveſtiget magnificae tranquillitatis
ſacrum lumen: ſeditionem e pectore
excidens ventorum. paupertatis conciliaricem,
infeſtam Iuvenum educatoribus.

(2) Apelles nimirum, familiaris antea, & amiciſſimus Philippi, inprimiſque apud ipſum gratioſus: cui vel graviſſima interdum Regni negotia credita fuerant, ac demandata, cum is fuiſſet deprehenſus, ob privatam ambitio-

Ὄντως γάρ εἰσιν οὗτοι παραπλήσιοι ταῖς ἐπὶ τῶν ἀβακίων ψήφοις. Ἐκεῖναί τε γὰρ κατὰ τὴν τοῦ ψηφίζοντος βούλησιν ἄρτι χαλκοῦν, καὶ παραυτίκα τάλαντον ἰσχύουσιν· οὗτοι περὶ τὰς αὐλὰς κατὰ τὸ βασιλέως νεῦμα μακάριοι, καὶ παρὰ πόδας ἐλεεινοὶ γίγνονται. Βιβ. ε'

ιγ' Τοῦτο φιλεῖ γίγνεσθαι (α) καὶ περὶ τὰ κοινὰ πράγματα, καὶ περὶ τοὺς κατ' ἰδίαν βίους. (ἀμφισβητήσεως δηλονότι, καὶ τῆς πρὸς ἀλλήλους ὀργῆς, καὶ ζήλου μεστὰ πάντα γίγνεσθαι), ὅταν ἐλλείπωσιν αἱ χορηγίαι τὰς καθ' ἑκάστων ἐπιβολάς.

ιδ' Τοσοῦτον ἄγνοια, καὶ ῥαθυμία διαφέρει παρ' ἀνθρώποις ἐπιμελείας, καὶ φρονήσεως περί τε τοὺς κατ' ἰδίαν βίους, καὶ τὰς κοινὰς πολιτείας, ὥστε

ὥστε

που φιλοτιμίαν, καὶ ζῆλον, ἀπεστερήθη κατὰ τὸ εἰκὸς τῆς τοῦ βασιλέως φιλίας, καὶ χάριτος, καὶ τῶν κοινῶν διαβουλίων· τέλος δὲ εἰς τὴν εἱρκτὴν ἅμα τῷ υἱῷ κατεμβληθεὶς, ἐτελεύτησεν ἐκεῖ τὸν βίον· ἐκ τῆς καθ' ἑαυτὸν περιστάσεως διδάξας, τύχην οἱονεὶ κυβεύειν ἐν τοῖς ἀνθρωπίνοις βίοις· ἐλαχίστους ἐκ μεγίστων, ἢ καὶ τοὐναντίον ἐκ ποδὸς θεμένης αὐτούς· ὅπερ αὐτῇ ἀθρόως που συμβαίνειν φιλεῖ τοῖς ἐν τοῖς βασιλείοις διαιτωμένοις· ὧν ἅπας ὁ βίος, καὶ κατάστασις ἀπήρτηται τῆς τοῦ ἄρχοντος γνώμης, καὶ νεύσεως.

(α') Οἱ Μεγαλοπολῖται δηλονότι, ὧν πέρι λόγος τῷ Πολυβίῳ, ὑπὸ Κλεομένους, τῶν Λακεδαιμονίων βασιλέως, λελωβημένοι, καὶ ἐσφαλμένοι πάντων, ἀδυνάτως εἶχον ἆραι τὸν πόλεμον μετ' Ἀχαιῶν πρὸς τοὺς Λακεδαιμονίους, σπανίζοντες πάντων· καὶ διὰ τοῦτο στάσεως, καὶ ταραχῆς ἦν ἡ πόλις μεστή.

persimiles sunt, qui numerariorum in tabulis scribuntur. Nam & illi ad eius arbitrium, ac nutum, qui calculos ponit, modo oboli vim habent, ac paulo post talenti: similiterque ii, qui in Regiis vivunt, ad Regis ipsius nutum beati, & e vestigio miseri evadunt. *Ex l.* 5.

XIII. Istud & publicis in rebus obvenit, & in privatis singulorum vitis (ut omnia nimirum contentione, ac mutua iracundia, & aemulatione impleantur), cum necessariae ad propositos conatus copiae defecerint(1).

XIV. Tantum apud homines discriminis interest inscitiam, ignaviamque inter, & diligentiam, atque prudentiam, sive in privata vita, sive publicis in rebus, ut aliis vel secun-

bitioné, aemulationéque, Regi adversari, cum eius amicitia, & gratia privatus est, tum a communibus consiliis prohibitus fuit; ac tandem in carcerem coniectus una cum filio, illic vitam finivit; ex casu suo, atque fortuna satis declarans, quam ludere soleat fortuna in hominum vitis: quae illos repente e maximis minimos, aut e contra reddere possit: quod iis accidit saepissime, qui in Regiis vivunt: quorum vita omnis, & conditio Regis e nutu, sententiaque pendet.

(1) Haud secus Megalopolitani (de quibus Polybius hic loquitur) a Cleomene, Lacedaemoniorum Rege, vexati, ac perditi, minime pares erant, qui una cum Achaeis bellum adversus Lacedaemonios susciperent, cum rerum omnium inopia laborarent: atque ideo turbis, ac seditionibus plena erat civitas.

ὥστε τοῖς μὲν καὶ τὰς ἐπιτυχίας βλάβην ἐπιφέρειν, τοῖς δὲ καὶ τὰς περιπετείας (ά) ἐπανορθώσεως γίγνεσθαι παραιτίας.

ιέ Καθάπερ σιδήρῳ μὲν ἰὸς, ξύλοις δὲ θρίπες, καὶ τερηδόνες ξυμφυεῖς εἰσι λῦμαι· ὧν, κἂν πάσας τὰς ἔξωθεν διαφύγωσι βλάβας, ὑπ' αὐτῶν φθείρονται συγγινομένων, τὸν αὐτὸν τρόπον καὶ τῶν πολιτειῶν συγγίγνεται κατὰ φύσιν ἑκάστῃ, καὶ παρέπεταί τις κακία. Βασιλείᾳ μὲν ὁ Μοναρχικὸς λεγόμενος τρόπος· ἀριστοκρατίᾳ δὲ ὁ τῆς ὀλιγαρχίας· δημοκρατίᾳ δὲ ὁ θηριώδης, καὶ χειροκρατικός· εἰς οὓς οὐχ οἷόν τε μὴ οὐ πάντα τὰ προειρημένα σὺν χρόνῳ ποιεῖσθαι τὰς μεταστάσεις (β') κατὰ τὸν ἄρτι λόγον. Βιβ. ς'

ις' Σού-

(α') Οἱ Ῥόδιοι, τῆς πόλεως αὐτῶν ὑπὸ σεισμοῦ τὰ μέγιστα λελωβημένης, ὑφ' οὗ καὶ τὸν Κολοσσὸν, περιβόητον ἤδη, συνέβη καταπεσεῖν, νουνεχῶς οὕτω, καὶ φρονίμως ἐχείρισαν τὸ πρᾶγμα ταῖς πρὸς τοὺς ἔξω πρεσβείαις, καὶ δεήσεσιν, ὥστ' ἐκεῖθεν ἐπωφεληθῆναι μέγα δή, καὶ χορηγίας παντοδαπὰς συγκομίσαι εἰς τὴν πόλιν· καλῶς ἤγουν οἰκονομοῦντας τὴν συμφορὰν, καὶ ὡς ἀφορμὴν λαβόντας αὐτὴν τῆς τῶν καὶ δημοσίᾳ, καὶ κατ' ἰδίαν πραγμάτων κατορθώσεως· ἣ τυχὸν ῥαθυμοῦσιν ἄλλοις παντελοῦς ἀπορίας, καὶ δυσχρηστίας αἰτία πως ἂν ἐγένετο.

(β') Ὁ Πολύβιος ἤγουν ἐν τοῖς πρόσθεν διασεσαφήκοι

πολ-

di rerum eventus detrimentum, aliis vel infortunia ipſa (1) fructum, & utilitatem perſaepe afferant.

XV. Quemadmodum ferro rubigo, lignis coſſi, & teredines, quaſi naturales quaedam labes innaſci conſueverunt, a quibus, quamvis externa damna evitarint, corrumpantur: illae quippe ſibi congenitae ſunt; eadem ratione ſingulis imperiis quaedam, naturae eorumdem conſentanea, depravatio innaſcitur, & eis veluti comes adhaereſcit: Regno ea, quae Monarchia appellatur: Optimatum dominatui, regnum paucorum: populari imperio, ferina quaedam, ac violenta reſpublicas adminiſtrandi ratio: in quae ſuperiora omnia, flexu temporis, neceſſario vertuntur (2), ut nuper diximus. *Ex l. 6.*

XVI. Hiſ-

(1) Rhodii, cum eorum Civitas ex terraemotu (quo & Coloſſus, toto orbe celeberrimus, concidit) graviter vexata, & afflicta fuiſſet, negotii illud ſolerter adeo, atque prudenter tractarunt, miſſis ad exteros ſupplicibus legationibus, ut inde vel plurimum utilitatis, atque fructus perceperint: ac rerum omnium copiam in Urbem ſuam comportarint. Ea ſcilicet calamitate, quae aliis fortaſſe, ſocordia langueſcentibus, ſummam rerum omnium difficultatem attuliſſet, uſi prudenter ſunt, atque inde opportunitatem captarunt ad publicas, & privatas res amplificandas.

(2) Polybius ſcilicet perpetuam Rerump. converſionem

ιϛ' Τούτοις (τιμαῖς, καὶ τιμωρίαις) συνέχονται μόνοις αἵ τε δυναστεῖαι, καὶ πολιτεῖαι, καὶ συλλήβδην πᾶς ὁ τῶν ἀνθρώπων βίος· παρ' οἷς γὰρ μὴ γινώσκεσθαι συμβαίνει τὴν τοιαύτην διαφορὰν, ἢ γινωσκομένην χειρίζεσθαι κακῶς, παρὰ τούτοις οὐδὲν οἷόν τε κατὰ λόγον διοικεῖσθαι τῶν ἐφεστώτων· πῶς γὰρ εἰκὸς ἐν ἴσῃ τιμῇ ὄντων τῶν ἀγαθῶν τοῖς κακοῖς;

ιζ' Δύο ἐστὶ, δι' ὧν σώζεται πολίτευμα πᾶν· ἡ πρὸς πολεμίους ἀνδρία, καὶ ἡ πρὸς σφᾶς αὐτοὺς ὁμόνοια.

ιή Ἐγὼ μὲν οἶμαι, δύο ἀρχὰς εἶναι πάσης πο-

πολλοῖς τὴν τῶν πολιτειῶν ἀνακύκλωσιν, ἀεὶ μεταβαλλουσῶν, καὶ πάλιν εἰς ταυτὸ ἀποκαθισταμένων· ὡς δηλονότι διὰ τὴν τοῦ καλοῦ, καὶ δικαίου, καὶ ἐπωφελοῦς ἔννοιαν καθισταμένης τῆς βασιλικῆς ἀρχῆς, αὐτῆς δὲ διὰ τὰς τῶν βασιλέων ὕβρεις τυραννικῆς γεγενημένης, ἡ πολιτεία ὅτι πλεῖστα εἰς ἀριστοκρατίαν μεθίσταται. ἕως οὗ καὶ τῶν ἐν τῇ ἀριστοκρατίᾳ πως ἀρχόντων, ἐξυβρισάντων εἰς τοὺς ὑποτεταγμένους, καὶ ἐπιμαινομένων αὐτοῖς, δυσχεραίνοντες οἱ πολλοὶ, καὶ ἐξοργισθέντες, ὡς ἔοικε, τὴν τῶν κοινῶν ἐπιμέλειαν ἀνέλαβον εἰς ἑαυτούς· ἐξ ὀλιγαρχίας εἰς δημοκρατίαν μεταβαλούσης τῆς πολιτείας. Ἡ Δημοκρατία δὲ πάλιν, τῶν πλουσίων ἄρχειν τῆς πόλεως φιλοτιμουμένων, καὶ δημοκοπούντων, ὑπ' αὐτῶν, ὡς ἔοικε, διεφθαρμένου τοῦ πλήθους, εἰς βίαν, καὶ χειροκρατίαν μεθίσταται· ἕως οὗ ταλαιπωροῦντες ὑπὸ τῶν ἰδίων κακῶν οἱ ἄνθρωποι ἐξανάγκης δεσπότην αὖθις, ἢ βασιλέα τινὰ, καὶ μόναρχον εἰς ἄμυναν τῶν ἀτυχημάτων, καὶ ἕρμαιον τῆς κοινῆς εὐδαιμονίας ζητήσωσι.

XVI. Hisce solis (proemiis, ac suppliciis) regna, & Resp. aliae, ac universim omnis hominum vita solent contineri. Nam apud quos istud discrimen vel non perspectum, ac cognitũ; vel perspectũ iam rite adhibitũ non fuerit, nihil ab his recte administrari, ac geri potest. Quo enim modo aequum id fieri, cum pari in loco, & honore cũ bonis improbi versentur?

XVII. Duo sunt, per quae Imperium omne conservatur; adversus hostes strenuitas, & civium mutua inter se concordia.

XVIII. Equidem arbitror, duo esse cuius-

nem fuse ostenderat superius, quae veluti circulo quodam vertuntur assidue, & ad eumdem, unde discesserant, statum revertuntur: ut nimirum, cum Regnum, honestatis, ac decoris, tum aequitatis, utilitatisque causa, constitutum sit, idem propter iniurias, ac libidines Regum, Tyrannicum factum, in Aristocratiam convertatur: ac perseveret eiusmodi, donec Optimates in subiectos populos sese iniurios, contumeliososque praestiterint: quibus proinde indignans multitudo moderationem rerum publicarum recipit in sese, forma Reip. e paucorum dominatu in Democratiam revoluta. Rursus autem populare Imperium, a divitibus, qui principatum Civitatis sibi appetunt, corrupta, ac depravata multitudine, in apertam vim, & iniuriam, qua manu, atque potentia omnia decernuntur, deflectit: donec Cives, domesticis incommodis, ac miseriis afflicti, necessario Regem sibi aliquem, ac dominum ad propulsanda incommoda, & ad publicam felicitatem suffulciendam quaesierint.

πολιτείας, δι' ὧν αἱρετὰς, ἢ φευκτὰς συμβαίνει γίγνεσθαι τάς τε δυνάμεις αὐτῶν, καὶ τὰς συστάσεις· αὗται δέ εἰσιν ἤθη, καὶ νόμοι. Τὰ μὲν αἱρετὰ τούς τε κατ' ἰδίαν βίους τῶν ἀνθρώπων ὁσίους ἀποτελεῖ, καὶ σώφρονας, τό, τε κοινὸν ἦθος τῆς πόλεως ἥμερον ἀπεργάζεται, καὶ δίκαιον· τὰ δὲ φευκτὰ τοὐναντίον. Ὥσπερ οὖν ὅταν τοὺς ἐθισμοὺς, καὶ νόμους κατίδωμεν παρά τισι σπουδαίους ὑπάρχοντας, θαῤῥοῦντες ἀποφαινόμεθα καὶ τοὺς ἄνδρας ἐκ τούτων ἔσεσθαι, καὶ τὴν τούτων πολιτείαν σπουδαίαν, οὕτως ὅταν τούς τε κατ' ἰδίαν βίους τινῶν πλεονεκτικοὺς, τάς τε κοινὰς πράξεις ἀδίκους θεωρήσωμεν, δῆλον, ὡς εἰκὸς λέγειν, καὶ τοὺς νόμους κεῖσθαι, ὡς τὰ κατὰ μέρος ἤθη, καὶ τὴν ὅλην πολιτείαν αὐτῶν εἶναι φαύλην.

ιθ' Καὶ μὴν οὐδὲ τὴν Πλάτωνος πολιτείαν δίκαιον παρεισαγαγεῖν, ἐπειδὴ καὶ ταύτην τινὲς τῶν φιλοσόφων ἐξυμνοῦσιν. Ὥσπερ γὰρ οὐδὲ τῶν τεχνιτῶν, ἢ τῶν ἀθλητῶν τούς γε μὴ νενεμημένους, ἢ σεσωμασκηκότας παριέμεν εἰς τοὺς ἀθλητικοὺς ἀγῶνας, οὐδὲ ταύτην χρὴ παρεισαγαγεῖν εἰς τὴν τῶν πρωτείων ἅμιλλαν· ἐὰν μὴ πρότερον ἐπιδείξηταί τι τῶν ἑαυτῆς ἔργων ἀληθινῶς. Μέχρι δὲ

τοῦ

iuſcunque Reipublicae principia, ac fundamenta, propter quae opes earum, & ſtatus aut optandi ſint, aut fugiendi. Illa vero ſunt mores, ac leges Reip. Quae enim optabilia, ea cum privatas hominum vitas ſanctas, & temperantes faciunt, tum communes civitatis mores, aequos reddunt, ac manſuetos. Quae vero fugienda ſunt, contra faciunt. Itaque quemadmodum, cum inſtitutas apud quoſdam leges, ac conſuetudines bonas, & praeclaras eſſe noverimus, vel homines, atque univerſam Remp. inde eiuſmodi fore certo pronuntiamus, ita cum privatas hominum vitas immoderatis cupiditatibus irretitas, unaque publicas actiones iniquas eſſe viderimus, perſpicuum iam eſt, leges quoque, ut privatos hominum mores, totamque Remp. malam, & improbam eſſe iudicandam.

XIX. Verumtamen nec Remp. Platonis aequum eſt inducere in Civitatem, quoniam & hanc Philoſophi nonnulli ſummis laudibus in caelum efferunt. Nam quemadmodum artifices illos, atque athletas, qui in numerum relati non ſunt, nec corpora ſua exercuerunt, Athletica ad certamina non admittimus, ita neque iſtam introducere debemus, quae cum caeteris certet de principatu, niſi pri-

τοῦ νῦν παραπλησίως ἂν ὁ περὶ αὐτῆς φανείη λόγος, ἀγόμενος εἰς σύγκρισιν πρὸς τὴν Σπαρτιατῶν, καὶ Ῥωμαίων, καὶ Καρχηδονίων πολιτείαν, ὡσανεὶ τῶν ἀγαλμάτων τὶς ἓν προθέμενος, τοῦτο συγκρίνοι τοῖς ζῶσι, καὶ πεπνυμένοις ἀνδράσι. Καὶ γὰρ ἂν ὅλως ἐπαινετὸν ὑπάρχῃ κατὰ τὴν τέχνην· τὴν δὲ σύγκρισιν τῶν ἀψύχων τοῖς ἐμψύχοις ἐνδεῆ, καὶ τελείως ἀπεμφαίνουσαν εἰκὸς προσπίπτειν τοῖς θεωμένοις.

κ' Παντὸς καὶ σώματος, καὶ πολιτείας, καὶ πράξεως ἐστί τις αὔξησις (α) κατὰ φύσιν· μετὰ δὲ ταύτην ἀκμή, κἄπειτα φθίσις· κράτιστα δὲ αὐτῶν ἐστι πάντα τὰ κατὰ τὴν ἀκμήν.

κά Εἷς ἀνὴρ (β), καὶ μία τύχη δεόντως ἡρμο-

σμέ-

(α) Τὸ αἴτιον ζητῶν καὶ προφέρων ὁ Πολύβιος, διὰ τί πως οἱ Ῥωμαῖοι τῶν Καρχηδονίων πολεμοῦντες τέλος ἐπεκράτησαν, λέγει, ὅτι „ καθόσον ἡ Καρχηδονίων ἀρχὴ πρότερον ἴσχυε, „ καὶ πρότερον εὐτύχει τῆς Ῥωμαίων, κατὰ τοσοῦτον ἡ μὲν „ Καρχηδὼν ἤδη τότε παρήκμαζεν· ἡ δὲ Ῥωμαίων τότ' „ εἶχε τὴν ἀκμὴν κατά γε τὴν τῆς πολιτείας σύστασιν „. κἂν αὐτὴ τῶν ἀρχῶν διαφορὰς ἐχουσῶν περὶ ῥώμης, καὶ ἀσθενείας κατὰ τὰς ἡλικίας, ὡς τὰ σώματα.

(β) Περὶ τοῦ Ἀρχιμήδους ἐνταῦθ' ὁ λόγος τῷ Πολυβίῳ·

ός

prius facinus suum aliquod re ipsa, ac veritate ostenderit. Hactenus vero illa eodem se habet modo; si quidem cum Lacedaemonum, aut Romanorum, aut Carthaginensium Rebuspubl. conferatur, ac si quis simulacrum proferat, atque illud cum vivis, ac spirantibus viris comparet. Esto enim: illud quidem propter artificium laude dignum sit; at corporum inanimum cum animatis facta contentio nonnisi manca, & omnino dissentanea spectantibus esse videatur.

XX. Corpus omne, & Resp., & quaevis actio habet suum quoddam naturale incrementum (1), tum perfectionem, ac deinde corruptionem, & interitum. Omnia vero quam optime sese habent in illis, cum in eo sunt statu, ut pubescant.

XXI. Vir unus (2), & una fortuna, nego-

(1) Causam quaerens Polybius, ac in medium proferens, ob quã Romani ad extremum bello Carthaginenses devicerunt, inquit: *Quod quanto ante viguerat, & effloruerat Carthagin. respublica, quam Rom. Imperium, tanto Carthago tunc temporis plus amiserat aetatis suae, ac roboris: Roma vero quodam iuventutis flore, quoad rerum publicarum statum, fruebatur*: cum & Imperia, iuxta diversos aetatis gradus, varia discrimina habeant imbecillitatis, aut roboris, ut corpora.

(2) Hoc loco Polybius de Archimede loquitur: qui artifici

σμένη πρὸς ἔνια τῶν πραγμάτων, μέγα τι χρῆμα φαίνεται γίγνεσθαι, καὶ θαυμάζιον. Βιβ. ή.

κβ' Εἰ ἐκ τοιούτων (τῶν γραφῶν, καὶ σημείων, ἅπερ οἱ Ῥωμαῖοι μετεβίβαζον, ἐξ ὧν εἷλον αὖ πόλεων, εἰς τὴν Ῥώμην) ὁρμηθέντες προεβίβασαν τὴν πατρίδα, δῆλον, ὡς εἰκότως ταῦτα μετέφερον εἰς τὴν οἰκείαν, δι' ὧν ηὐξήθησαν· εἰ δ' ἁπλουστάτοις χρώμενοι βίοις, καὶ πορρωτάτω τῆς ἐν τούτοις περιττότητος, καὶ πολυτελείας ἀφεστῶτες, ὅμως ἐπεκράτουν τούτων ἀεὶ, παρ' οἷς ὑπῆρχε πλεῖστα, καὶ κάλλιστα τὰ τοιαῦτα, πῶς οὐ νομιστέον εἶναι τὸ γιγνόμενον ὑπ' αὐτῶν ἁμάρτημα; τὸ γὰρ ἀπολιπόντας τὰ τῶν νικώντων ἔθη, τὸν τῶν ἡττωμένων ζῆλον ἀναλαμβάνειν, προσεπιδραττομένους ἅμα καὶ τὸν ἐξακολουθοῦντα τούτοις φθόνον, (ὃ πάντων ἐστὶ φοβερώτατον ταῖς ὑπεροχαῖς), ὁμολογούμενον ἂν εἴποι τις εἶναι τῶν πραττόντων παράπτωμα. Ὁ γὰρ οὕτως ὁρμώμενος οὐδέποτε μακαρίζει τοὺς τἀλλότρια κεκτημένους, οἷς φθονεῖ· ἅμα καί τις ἔλεος αὐτῶν ὑπορρέχει, τῶν

ὃς ἰδίᾳ ἐμπειρίᾳ, καὶ τέχνῃ παντοδαπὰς ἐξευρὼν μηχανὰς, καὶ σκεύη ἀμυντήρια, Συρακούσας, πατρίδα αὐτοῦ, ἐξέσωσεν ὑπὸ Ῥωμαίων πολιορκουμένην πανδημεὶ, καὶ τῆς ἐνεστώσης συμφορᾶς ἀπήλλαξε διὰ πολλοῦ· ὥστε τοὺς πολεμίους ἀπειρηκότας, τῆς πολιορκίας ἑκάστοτε ἀφεστηκέναι.

gotiis quibusdam gerendis apta, & consentanea, magna quaedam, & admirabilis res videri solet.

XXII. Si ex hisce (picturis, & signis, quae Romani ex iis, quas ceperant, urbibus Romam undique comportabant) facultatem, & opportunitatem adepti fuissent Patriam suam meliorem in statum, atque conditionem provehendi, ecquis dubitat, quin optimo iure, ac merito isthaec, per quae crevissent, domesticam in regionem transferrent? Quod si iidem, simplicissima vivendi ratione, & abhorrendo ab huiusmodi curiositate, & opulētia, eos nihilominus semper vicere, apud quos plurima illa, atque pulcherrima extabāt, quid ni eosdem hac in parte peccare iudicandum est? Nam victorum mores, & instituta deserere, ac eorum sibi studia assumere, qui victi, superatique fuere; atque una illam, quae consequi isthaec solet, invidiam sibi vindicare (quae omnium maxime formidabilis summis Imperiis est) quis non confiteatur

tificio suo, ac peritia, cum omne genus machinas, & instrumenta ad hostes propulsandos invenisset, Syracusas, patriam suam, a Romanis obsessam copiis omnibus, diu incolumem servavit: cum quidem Romani victoriam desperantes, aliquoties ab eadem obsidenda recessissent.

τῶν ἐξ ἀρχῆς ἀποβαλόντων. Ἐπὰν δὲ καὶ προβαίνῃ τὰ τῆς εὐημερίας, καὶ πάντα συνάγῃ πρὸς αὐτὸν τὰ τῶν ἄλλων, καὶ ταῦτα συγκαλῇ τρόπον τινὰ τοὺς ἐστερημένους ἐπὶ θέαν, διπλάσιον γίγνεται τὸ κακόν. Οὐ γὰρ ἔτι τοὺς πέλας ἐλεεῖν συμβαίνει τοὺς θεωμένους· ἀλλὰ σφᾶς αὐτοὺς, ἀναμιμνησκομένους τῶν οἰκείων συμπτωμάτων· ἐξ ὧν οὐ μόνον φθόνος, ἀλλ' οἷον ὀργή τις ἐκκαίεται πρὸς τοὺς εὐτυχοῦντας· ἡ γὰρ τῶν ἰδίων περιπετειῶν ἀνάμνησις ὡσανεὶ προτροπή τις ἐστὶ πρὸς τὸ κατὰ τῶν πραξάντων μῖσος. Τὸ μὲν οὖν τὸν χρυσὸν, καὶ τὸν ἄργυρον ἀθροίζειν πρὸς αὑτοὺς ἴσως ἔχει τινὰ λόγον· οὐ γὰρ οἷόν τε τῶν καθόλου πραγμάτων ἀντιποιήσασθαι, μὴ τούτοις μὲν ἄλλοις ἀδυναμίαν ἐνεργασαμένους, σφίσι δὲ τοιαύτην δύναμιν ἑτοιμάσαντας· τὰ δ' ἐκτὸς ὑπάρχοντα τῆς προειρημένης δυνάμεως ἦν ἐν τοῖς ἐξ ἀρχῆς τόποις ἅμα τῷ φθόνῳ ἐγκαταλιπόντας, ἐνδοξοτέραν ποιεῖν τὴν σφετέραν πατρίδα μὴ γραφαῖς, καὶ τύποις, ἀλλὰ σεμνότητι, καὶ μεγαλοψυχίᾳ κοσμοῦντας αὐτήν.

Βιβ. θ'

certissimum esse peccatum? Qui enim simili cupiditate ducitur, is profecto hosce, qui aliena possident, tanquam beatos homines, praedicare nequaquam potest, quippe quibus ipse invidet: quin imo & misericordia erga illos subeat, qui primũ eadẽ amiserint. Quod si prosperae res magis processerint, & alterius ornamenta omnia apud sese quis coacervarit, ad haec ipsa spectanda quodammodo convocat eos, qui exspoliati fuerunt: in quo duplex malum fit. Nam qui spectant, non adhuc proximorum, sed sui ipsorum misericordia commoventur, cum inde domestici incommodi, miseriaeque in recordationem veniant. Unde non invidia solum, sed etiam quaedam iracundia adversus eiusmodi beatos homines exardescit. Propriarum quippe aerumnarum recordatio odium acuit in eos, qui easdem importarunt. Quod ergo quis aurum, argentũque apud se aggerat, id fortasse non fit sine certa causa, & ratione. Neque enim fieri potest, ut aliqui rerum summam adipiscantur, qui non caeteris hac in parte imbecillitatem pepererint, ac sibi ipsis copias, & robur compararint. Quae vero hunc minime referuntur, multo erat potius, iis ipsis in locis, in quibus principio stabant, una cum invidia, relinquẽ-

κγ' Ἡ τῶν πέλας ἀπειρία μέγιστον ἐφόδιον γίγνεται τοῖς ἐμπείροις πρὸς κατόρθωσιν.

κδ' Κάλλιστα φυλάττουσι τὰς ὑπεροχὰς οἱ κάλλιστα διαμείναντες ἐπὶ τῶν αὐτῶν προαιρέσεων, αἷς ἐξ ἀρχῆς κατεστήσαντο τὰς δυναστείας· καὶ τοίγε προφανοῦς ὄντος, καὶ ἐπὶ πολλῶν ἤδη τεθεωρημένου, διότι κτῶνται μὲν ἄνθρωποι τὰς εὐκαιρίας εὖ ποιοῦντες, καὶ προτεινόμενοι τὴν ἀγαθὴν ἐλπίδα τοῖς πέλας. Ἐπειδὰν δὲ τῶν ἐπιθυμουμένων τυχόντες κακῶς ποιῶσι (ά), καὶ δεσποτικῶς ἄρχωσι τῶν ὑποτεταγμένων, εἰκότως ἅμα

(α') Οἱ Καρχηδόνιοι, ἐπειδὴ τὸν Πόπλιον, καὶ Γάϊον, στρατηγοὺς ὄντας τῶν Ῥωμαίων, ἐνίκησαν, καὶ ἀπέκτειναν, ὡς θ' ὑφ' ἑαυτοὺς ποιῆσαι πᾶσαν τὴν Ἰβηρίαν, ὥσπερ ἤδη σφίσιν ἑδρασμένην, καὶ ἀσφαλῆ, ἀδήριτόν τ' ἀρχὴν κατεσκευακότες, καὶ ὡς μηδενὸς ἔτι ἐπὶ τῇ ἐκείνῃ χώρᾳ παρὰ τῶν Ῥωμαίων ἐπικρεμαμένου κινδύνου, δεσποτικῶς ἤρξαντο χρῆσθαι τοῖς λαοῖς, καὶ πολλὰ δὴ λυπεῖν αὐτοὺς, καὶ ὑβρίζειν. Ὃ δὴ αἴτιόν πως ἐγένετο τοῦ ἐκείνους ἀπὸ Καρχηδονίων πρὸς Ῥωμαίους, μετ' οὐ πολὺ εἰς Ἰβηρίαν ὑπὸ Σκιπίωνος κατάραντας, μεθίστασθαι. Οὐκοῦν ὁ Συγγραφεὺς περὶ τῶν Καρχηδονίων

do, ſuam inde patriam facere glorioſiorem, non eandem picturis, ac ſignis, ſed gravitate, & animi magnitudine exornando. *Ex l. 9.*

XXIII. Vicinorum imperitia magnum affert ſubſidium, & opportunitatem ſolertibus viris ad res praeclare gerendas.

XXIV. Hi ſumma Imperia praeclare conſervāt, qui eadem inſtituta, ac propoſita, quibus initio adepti illa ſunt, optime, ac conſtāter tuentur. Quamquam hoc quidem clarum eſt, multorumque periculis, & exemplis perſpectum, ac cognitum: homines videlicet, bene merendo de proximis, ac bonas ſpes iiſdem oſtendendo, ſummas conſequi rerum agendarum opportunitates. Cum vero iidem fuerint id, quod concupiſcebant, adepti, & eos male accipere coeperint (1), qui ſibi ſubiiciun-

(1) Poſtquam Carthaginenſes Publium, & Caium, Rom. duces, praeliis vicerunt, victoſque interfecerunt, ac totam Hiſpaniam redegerunt in ſuam poteſtatem, perinde atque tutum, ac certum eius Imperium ſibi comparaſſent, de quo nulla ſibi foret reliqua cum Romanis contentio, neque ullum ab his ſibi periculum adhuc impenderet, coeperunt durum, & gravē in ſubiectos populos exercere dominatum, ac multis eoſdem iniuriis vexare, & opprimere. Unde factum eſt, ut Hiſpani ad Romanos non multo poſt, cum hi in Hiſpaniam,

ἅμα ταῖς τῶν προεςώτων μεταβολαῖς συμπίπτουσι καὶ τῶν ὑποτεταγμένων αἱ προαιρέσεις. Βιϐ. έ

κέ Ἐπὶ τῶν σωμάτων τὰς μὲν ἐκτὸς αἰτίας τοῦ βλάπτειν· λέγω οἷον ψύχους, καύματος, κόπου, τραυμάτων· καὶ πρὶν γενέσθαι, φυλάξασθαι δυνατὸν, καὶ γενομέναις εὐμαρὲς βοηθῆσαι. Τὰ δ' ἐξ αὐτῶν τῶν σωμάτων γινόμενα φύματα, καὶ νόσους δυσχερὲς μὴ περιϊδέσθαι, δυσχερὲς δὲ γενομένοις βοηθεῖν. Τὸν αὐτὸν δὲ τρόπον καὶ περὶ πολιτείας, καὶ περὶ στρατοπέδων διαληπτέον· πρὸς μὲν γὰρ τὰς ἔξωθεν ἐπιβουλὰς, καὶ πολέμους πρόχειρος ὁ τρόπος τῆς παρασκευῆς, καὶ βοηθείας τοῖς ἐφιςάνουσι· πρὸς δὲ τὰς ἐν αὐτοῖς γενομένας ἀντιπολιτείας, καὶ στάσεις, καὶ ταραχὰς δύσχερης ἡ βοήθεια, καὶ μεγάλης ἐπιδεξιότητος, καὶ διαφερούσης ἀγχινοίας δεομένη. Πλὴν ἑνὸς παραγγέλματος ἅπασιν ἁρμόσει καὶ στρατοπέδοις, καὶ πό-

---

νίων εἶπεν „ ὅτι ἄλλως ὑπέλαβον δεῖν κτᾶσθαι τὰς ἀρχὰς, ἄλλως δὲ τηρεῖν „ οὐ μαθόντες ἂν, ὃ ἤδη καὶ Θουκιδίδης ἐν τῇ τῶν Μιτυληναίων δημηγορίᾳ βιϐ. γ' ἀπεφήνατο, λέγων „ ὅτι ἐν τῷ διαλλάσσοντι τῆς γνώμης καὶ αἱ διαφοραὶ τῶν ἔργων καθίςανται. „

iiciuntur, durumque in ipsos imperium, ut heri in servos, exercere, merito illud accidit, ut cum Regum Instituta, & mores conversa sint, vel subditorum proposita, ac sententiae una concidant. *Ex l. 10.*

XXV. Externas causas, a quibus labes, ac detrimentum corporibus affertur, cuiusmodi sunt frigus, aestus, defatigatio, vulnera, & prçcavere, antequã incidant, & cum inciderint, iisdem occurrere perfacile est. At vero tumores, ac morbos, qui ex ipsis corporibus nascuntur, cum difficile providemus, tum iisdem, cum extiterint, mederi aegre possumus. Idem porro de Rep., deque exercitibus sentiendum est. Nam in promptu est quidem, adversus externas insidias, atque bella instruere necessarios apparatus, si modo attentam quis diligentiam adhibuerit. Adversus autem factiones, atque turbas, seditionesque, quae in Rebuspublicis, & exercitibus gignuntur, opportuna,

niam, P. Scipione duce, traiecissent, defecerint. Quocirca illud de Carthaginensibus Historicus pronuntiat: *Quod ipsi alio modo Imperia comparanda existimabant, & alio conservanda*. In quo sane illud ignorabant, quod & Thucidides animadvertit in Concione Mitylenensium, l. 3. Hist. *quod si quis sententiam, ac studia mutarit, vel negotia ipsa mutentur, necesse est.*

πόλεσι, καὶ σώμασιν, ὡς ἐμὴ δόξα· τοῦτο δέ ἐστι, τὸ μηδέποτε ἐᾶν (α') ἐπιπολὺ ῥαθυμεῖν, καὶ σχολάζειν περὶ μηδὲν τῶν προειρημένων· ἥκιστα δὲ ἐν ταῖς εὐροίαις τῶν πραγμάτων, καὶ ταῖς δαψιλείαις τῶν ἐπιτηδείων. Βιβ. ια'

κς'. Πᾶς ὄχλος εὐπαραλόγιστος ὑπάρχει, καὶ πρὸς πᾶν εὐάγωγος· ὅθεν ἀεὶ τὸ παραπλήσιον πάθος συμβαίνει περί τε τοὺς ὄχλους, καὶ τὴν θάλατταν· καθάπερ γὰρ ἐκείνης ἡ μὲν ἰδία φύσις ἀβλαβὴς τοῖς χρωμένοις, καὶ στάσιμος· ὅταν δ' εἰς αὐτὴν ἐμπέσῃ πνεύματα βίᾳ, τοιαύτη φαίνεται τοῖς χρωμένοις, οἷοί τινες ἂν ὦσιν οἱ κυκλοῦντες αὐτὴν ἄνεμοι, τὸν αὐτὸν τρόπον, ἀεὶ καὶ ὁ ὄχλος

(α') Τοῦ γράψαι ταῦτ' ἀφορμὴν εἴληφεν ὁ Πολύβιος, τὴν τῶν δυνάμεων ἀπόστασιν ὑπὸ Ποπλίου τοῦ Σκιπίωνος γενομένην· αἳ μετὰ τὴν νίκην, ἥνπερ ὁ Πόπλιος κατωρθωκώς, Ἀσδρούβαν, τὸν τοῦ Ἀννίβου ἀδελφόν, λαμπρῶς ἐνίκησε, χορηγίας πάσης, καὶ δαψιλείας εὐπορῆσαι εἰς ταραχὴν συνίσταντο, καὶ ὄχλον, καὶ στάσιν· ὡς ἐσφαλμέναι τῶν ἤδη αὐταῖς ὀφειλομένων ὀψωνίων.

tuna auxilia aegre comparantur : atque ad eam rem opus eſt magna dexteritate, ac praeſtante ſolertia (1). Quamquam unum, ut mea quidem fert ſententia, praeceptum omnibus aptum erit, & conſentaneum ſive exercitibus, ſive civitatibus, ſive corporibus. Illud vero eſt, ne quando homines ulla in re (de qua dictum ſuperius eſt) otio, inertiaque diffluere ſinantur, quamminime vero tunc temporis, cum res proſpero, ac ſecundo utuntur curſu : & eorum ubertas eſt, quae ad victum, cultumque vitae referuntur. *Ex l.* 11.

XXVI. Vulgus quodvis hominum ficta, ac ſimulata oratione decipi, & ad quamlibet rem audendam facile deduci poteſt. Quocirca, quod accidit in mari, idem fere & in hominum multitudine contingit. Nam, ut illius natura per ſe quidem ſatis tuta, ac firma navigantibus eſt : cum autem violenti in ipſam venti incurrerint, talis eſſe videtur his, qui eadem utuntur, cuiuſmodi fuerint venti, a qui-

(1) Iſthaec ſcribit Polybius, occaſione ſumpta ex defectione militum ſub P. Scipione : qui poſt illam victoriam, quam idem Scipio de Aſdrubale, Annibalis fratre, in Hiſpania retulerat, abundantes omni commeatu, & copia, in ſeditionem, atque turbas verſi ſunt ; quod ea cibaria, ſive ſtipendia, quae olim ſibi debebantur, nondum ſibi ipſis perſoluta fuiſſe dicerent.

λος φαίνεται γίγνεσθαι πρὸς τοὺς χρωμένους, οἵους ἂν ἔχοι προστάτας, καὶ συμβούλους.

κζ' Καθάπερ ἐπὶ τῶν ὑδρωπικῶν οὐδέποτε ποιεῖ παῦλαν, οὐδὲ κόρον τῆς ἐπιθυμίας ἡ τῶν ἔξωθεν ὑγρῶν παράθεσις, ἐὰν μὴ τὴν ἐν αὐτῷ τῷ σώματι διάθεσιν ὑγιάσῃ τις, τὸν αὐτὸν τρόπον οὐδὲ τὴν πρὸς τὸ πλεῖον ἐπιθυμίαν οἷόν τε κορέσαι μὴ οὐ τὴν ἐν τῇ ψυχῇ κακίαν λόγῳ τινὶ διορθωσάμενον. Ἐγένετό τε καὶ περὶ τὴν τοιαύτην κακοπραγμοσύνην, ἣν δὴ βασιλικὴν (α') μὲν οὐδαμῶς οὐδεὶς ἂν εἶναι φήσειεν· ἀναγκαίαν δὲ βούλονται λέγειν ἔνιοι πρὸς τὸν πραγματικὸν τρόπον, διὰ τὴν νῦν ἐπιπολάζουσαν κακοπραγμοσύνην. Βιβ. ιγ'

κή Εἰς

(α') Τοῦδε τοῦ τμήματος ἄδηλος ἡ ὑπόθεσις, διὰ τὸ ἀποκεχωρισμένον αὐτὸ εἶναι τῶν προηγουμένων παρὰ τῷ Πολυβίῳ ἐν τῷ κατ' ἐπιλοιπὸν λόγῳ ιγ'· ὅμως δὲ εἰκάζειν πως ἔξεστι, Φιλίππου τυχὸν, ἢ ἄλλου τινὸς τῶν βασιλέων ῥᾳδιουργίαν, καὶ ἀπιστίαν ἐν τοῖς πολέμοις ὑπὸ τοῦ συγγραφέως ἐλέγχεσθαι· ἐπεὶ τῶν Ἀχαιῶν εὐθὺς τὸν ἔπαινον ὑποτίθησι, τῶν „ συνθεμένων πρὸς σφᾶς μήτε ἀδήλοις „ βέλεσι, μήτ' ἑκηβόλοις χρήσασθαι κατ' ἀλλήλων· μό- „ νην δὲ τὴν ἐκ χειρὸς, καὶ συστάσεως γιγνομένην μάχην „ ἀληθινὴν ὑπολαμβανόντων εἶναι κρίσιν πραγμάτων; „ πρὸς δὲ προλεγόντων τῆς μάχης, ἧς ἤμελλον μάχε- „ σθαι, τὸν καιρὸν, καὶ τὸν τόπον „. Ἀλλὰ καὶ οἱ Ῥωμαῖοι

δήπου

a quibus obſeſſa tenetur, non aliter & vulgus hominum ita ſemper ſe habet in eos, qui ipſis utuntur, quales hi fuerint, qui ſe gubernant, ac ſibi conſulunt.

XXVII. Quemadmodum Hydropicis accidit, ut cupiditati bibendi nullum finem, aut ſatietatem afferat externi liquoris acceſſio, niſi prius ipſa corporis affectio ſanata fuerit, eodem modo libido plura habendi exſatiari non poteſt, niſi primum depravatio, & corruptela animi ratione quapiam curetur. Quod idem fere circa nequitiam eiuſmodi (1) uſuvenire ſolet, quam nemo ullo modo regiam eſſe dixerit. Sunt, qui eam appellent neceſſariam, quod per ipſam gerendae res ſint: idque ob eam improbitatem, quae hoc tempore dominatur. *Ex l.* 13.

XXVIII.

(1) Incertum huiuſce fragmenti argumentum eſt, quod ab antecedentibus ſeiunctum apud Polybium in Epitome Hiſt. l. XIII. reperiatur. Coniicere tamen licet, Philippi, aut alterius Regis fraudes, & infidelitatem in bello gerendo ab Hiſtorico redargui: quoniam Achaeorum confeſtim, tamquam ex adverſo, laudes ſubtexit: *Qui ſecum ipſi conſtituerant, nec telis occultis, neque ictu armorum uti adverſus ſe mutuo aliquando; & eo ſolū praelii genere, quod cominus ſit & ex condicto, rem decernendam iudicabant: quin etiam locum praelii, ac tempus praenuntiare ſolebant, atque indicere.* Verum & Romani (ut

κή Εἰς ἀτυχίας οὐκ οἶδ᾽ ὅπως πάντες ἄνθρωποι περιφανῶς ἐμπίπτοντες οὐ δύνανται λῆξαι τῆς ἀνοίας· ἀλλ᾽ οὐδὲ βραχὺ διαπιστῆσαι ῥᾴδιον, καθάπερ ἔνια τῶν ἀλόγων ζώων· ἐκεῖνα γὰρ οὐ μόνον, ἐὰν αὐτὰ πολὺ δυσχρηστήσῃ περὶ τὰ δελέατα, καὶ τὰς ἄρκυς, ἀλλὰ κἂν ἕτερον ἴδῃ κινδυνεῦον, οὐκ ἂν ἔτι ῥαδίως αὐτὰ προσαγάγῃς πρὸς οὐδὲν τῶν τοιούτων· ἀλλὰ καὶ τὸν τόπον ὑποπτεύει, καὶ παντὶ τῷ φαινομένῳ διαπιστεῖ. Οἱ δὲ ἄνθρωποι τοὺς μὲν ἀκούοντες ἀπολλυμένους ἄρδην τῷ προειρημένῳ τρόπῳ (α´), τοὺς δὲ ἀκμὴν ὁρῶντες, ὅμως ὅταν τὶς χρησάμενος τῷ πρὸς χάριν λόγῳ προτείνῃ τὴν ἐλπίδα τῆς ἐξ ἀλλήλων ἐπανορθώσεως, πρόεισι πρὸς τὸ δέ-

---

δήπου σπανίως ἐχρῶντο ταῖς ἐνέδραις, ὡς αὐτόθι διηγεῖται ὁ Πολύβιος· ὅτι πλεῖστα στάδην, καὶ ἐγχειρῶν ποιοῦντες τὴν συμβολήν.

(α´) Περὶ τῶν Κιανῶν ὁ λόγος ἐνταῦθα τῷ Πολυβίῳ, εἰς μεγίστας οὐκ οἶδά τινας ἀτυχίας περιπεσόντων· μήτε γὰρ ὁ συγγραφεὺς διασαφεῖ· εἰ μὴ μετ᾽ ὀλίγον φησὶν αὐτοὺς ἐξηνδραποδισμένους ὑπὸ Φιλίππου διὰ τὴν ἀβουλίαν αὐτῶν, καὶ κακοπολιτείαν· „ προαγόντων ἀεὶ τοὺς χειρίστους, καὶ κολαζόντων τοὺς ἐναντιουμένους τούτοις, ἵνα διαιρῶνται τὰς ἀλλήλων οὐσίας „ · ὥστε οἷον ἐθελοντὶ, καὶ ἐκ προαιρέσεως ἐκεῖθεν εἰς δεινότατα τῶν κακῶν σύμπασαν αὐτῶν πόλιν ἐμπεσεῖν.

XXVIII. Cum homines cuncti nescio quomodo in aerumnas aperte incurrant, haud tamen possunt a dementia desistere. Quin nec adduci queunt facile, ut, quemadmodum animantes quidam, rationis expertes, vel paululum rebus diffidant. Illos quippe, non modo si ipsi incommodum grave aliquod perpessi fuerint circa escas, & retia, ad horum aliquod non facile deinceps pertrahere possis, sed etiam si vel alium in id discriminis venisse perspexerint. Quin imo vel locum ipsum suspectum habent; atque omni indicio diffidunt. Homines vero, cum alios audierint eo (1), quo diximus, modo, funditus interiisse, alios ipsi videant, nihilo tamen minus, cum quispiam, usus oratione ad

(ut narrat ibidem Polybius) insidiis perraro utebantur, ac ut plurimum instructa acie, manu, & armis dimicabant.

(1) De Cianis hic sermo est, qui nescio quas gravissimas in calamitates inciderant (cuiusmodi vero eae fuerint, non declaratur; nisi quod iidem a Philippo victi, & in servitutem redacti non multo post referuntur) quod Remp. inconsulto, & improbe administrarent: *cum & deterrimos quosque ad bonores semper proveherent, & eos, qui ipsis adversabantur, suppliciis mulctarent: quo civium fortunas inter se dividerent, ac partirentur*. Unde factum est, ut universa eorum civitas gravissima in mala tamquam de industria incurreret.

λεαρ ἀνεπιστάτως· σαφῶς εἰδότες, διὸ τὴν τοιαῦτα δελέατα καταπιόντων οὐδεὶς οὐδέποτε σέσωσαι· πᾶσι δ' ὁμολογουμένως ὄλεθρον ἐπήνεγκαν αἱ τοιαῦται πολιτεῖαι. Βιβ. ιϛ'

κθ' Βασιλικὸν πρᾶγμα (α'), τὸ μηδ' ἐν τοῖς δεινοῖς λήθην ποιεῖσθαι τοῦ καθήκοντος. Βιβ. ιζ'

(α') Ο' Φίλιππος μεγάλην ὑπὸ τῶν 'Ρωμαίων ἧτταν ἡττηθεὶς, εὐθὺς ἤδη εἰς τὴν Λάρισσαν πόλιν ἕνα τῶν ὑπασπιστῶν ἔπεμψε νυκτὸς, ἐντειλάμενος διαφθεῖραι τὰ ἐκεῖ σωζόμενα βασιλικὰ γράμματα· πρόνοιαν ποιησάμενος, μὴ αὐτῶν οἱ 'Ρωμαῖοι κρατήσαντες, εἰς λώβην πῦ παραχρήσαιντο τῶν φίλων αὐτοῦ, καὶ συμμάχων· καὶ διὰ τοῦτο ἐπαινεῖται, ὡς μηδ' ἐν τῇ μεγίστῃ ἀτυχίᾳ ἐλθὼν ἤδ' εἰς λήθην τοῦ καθήκοντος.



ΤΟΥ

ad gratiam composita, spem ipsis aliquam secundi eventus, a se mutuo proventuri, ostéderit, ad escam inconsiderate procurrunt: quamvis belle noverint, neminem unquam, qui escas eiusmodi deglutierit, salvum, & incolumem fuisse: hunc vero modum Remp. administrandi omnibus certo exitium attulisse. *Ex l. 16.*

XXIX. Regium est, officii nec adversis in casibus oblivisci (1). *Ex l. 17.*

(1) Philippus magna clade victus a Romanis, confestim in Larissam unum e satellitibus noctu misit; ac iussit, ut regias litteras deleret, quae illa in civitate depositae servabantur: illud providens, ne hostes earum potiti, ad sociorum eius, & amicorum calamitatem abuterentur. Ob eam igitur causam hic laudatur a Polybio: quippe qui nec gravissima in aerumna officii in oblivionem venerit.



LOCA

ΤΟΥ ΠΟΛΥΒΙΟΥ ΕΚΛΕΚΤΑ

ΣΤΡΑΤΙΩΤΙΚΑ.

α΄ ΤΟ` παρ' Εὐριπίδῃ πάλαι καλῶς εἴρηται, ὡς ἓν σοφὸν βούλευμα (α) τὰς πολλὰς χεῖρας νικᾷ. Βιϐ. α΄

β΄ Διηγεῖται ὁ Συγγραφεὺς περὶ τοῦ 'Αμίλκου, καὶ 'Ιουνίου, στρατηγοῦ τῶν 'Ρωμαίων, ὅτι „ καθάπερ
„ ἐπὶ τῶν διαφερόντων πυκτῶν καὶ ταῖς
„ γενναιότησι, καὶ ταῖς εὐεξίαις, ὅταν εἰς τὸν ὑπὲρ
„ αὐτοῦ στεφάνου συγκαταστάντες καιρὸν διαμάχωνται,
„ πληγὴν ἐπὶ πληγῇ τιθέντες ἀδιαπαύστως, λόγον
„ μὲν, ἢ πρόνοιαν ἀνέχειν ὑπὲρ ἑκάστης ἐπιβολῆς,
„ καὶ πληγῆς οὔτε τοῖς ἀγωνιζομένοις, οὔτε τοῖς
„ θεωρουμένοις ἐστὶ δυνατὸν, ἐκ δὲ τῆς καθόλου
„ τῶν ἀνδρῶν ἐνεργείας, καὶ τῆς ἑκατέρου φι-
„ λοτιμίας, ἔτι καὶ τῆς ἐμπειρίας αὐτῶν, καὶ τῆς
„ δυνάμεως· πρὸς δὲ καὶ τῆς εὐψυχίας ἱκανὴν
„ ἔν-

(α΄) Οἱ Καρχηδόνιοι, οἱ τὸ πρὶν ἀντοφθαλμεῖν μὴ δυνάμενοι τοῖς 'Ρωμαίοις, μεγάλαις ὑπ' αὐτῶν ἥτταις πως ἡττημένοι, Ξανθίππου, ἀνδρὸς Λακεδαιμονίου, ἐπιδημοῦντος τυχὸν ἐν τῇ Καρχηδόνι, βουλῇ χρησάμενοι, καὶ ὑπ' αὐτοῦ ἐξιόντες ἐπὶ τὴν μάχην, 'Ρηγούλιον τῶν 'Ρωμαίων στρατηγὸν, ἐνίκησαν μάχῃ· ὅθεν ἀνέλαβον ἑαυτοὺς, καὶ ἐπὶ τοσοῦτον ἐπεκράτησαν τῶν πραγμάτων, ὥστε 'Ρωμαίους περιφόβους ἐκ τῆς συμφορᾶς γενομένους ἐκχωρῆσαι διὰ χρόνου τῶν ὑπαίθρων.



LOCA E POLYBIO SELECTA
AD MILITIAM PERTINENTIA.

I. Illud praeclare dictum iampridem ab Euripide est: multas copias (1) uno sapiente consilio vinci, ac superari. *Ex l.* 1.

II. Narrat Historicus de Amilcare Carth., & Iunio Rom. duce, quod, *quemadmodum pugilibus accidit, & animi generositate, & corporis habitu praestantibus, ut, cum eo perventum fuerit, ut de ipsa corona certent, ictum ictui sine intermissione addant; unde singularum plagarum, & impetus rationem neque qui certant habere ullo modo possunt, neque qui spectant: bene vero licet universim, ac summatim ex eo, quod a viris fieri cernitur, alterutrius & vincendi cupiditatis, & peritiae, ac virium, quin & animi generositatis (quantum par est) in cogni-*

(1) Carthaginenses, qui adversus Romanos antea stare in acie non poterant, magnis ab ipsis cladibus saepius afflicti, Xanthippi Lacedaemonii, qui tum casu Carthagine diversabatur, usi consilio, & ipso duce egressi ad praelium, Regulum, Rom. Imperatorem, vicerunt, ac res suas recuperarunt. In quo ea facta conversio est, ut Romani perterriti, ad tempus aliquod non auderent aperto campo se committere.

„ ἔννοιαν λαβεῖν „. οὕτω καὶ οἱ προειρημένοι στρατηγοὶ ἴσαις ἀρεταῖς, καὶ δυνάμεσι ἀντοφθαλμοῦντες ἐν τῇ Σικελίᾳ, καὶ τὰς ἐπιβολὰς ποιούμενοι, ῥᾴδιον οὐκ ἦν διακρίνειν, τίς ἑκατέρου περιγένοιντο.

γ΄ Τοῦ αὐτοῦ νομιστέον εἶναι ἡγεμόνος, τὸ δύνασθαι βλέπειν τὸν τοῦ νικᾷν, ὁμοίως δὲ καὶ τὸν τοῦ λείπεσθαι καιρόν (α΄).

δ΄ Κατὰ ταύτας (β΄) τὰς ἁμαρτίας (τὰς πρὸς

τοὺς

(α΄) Ὁ Ἀμίλκας, στρατηγὸς τῶν Καρχηδονίων, ὁ ἀριστεύσας ἐν τῷ πρὸς τοὺς Ῥωμαίους πολέμῳ ἐν τῇ Σικελίᾳ, καίτοι ἔχθιστος ὢν τῶν Ῥωμαίων, ὡς εἰκός, καὶ τοῦ πρὸς ἐκείνους πολέμου ὑπερσπουδάζων, ὅμως, ἕως μὲν οὖ ἐλπὶς ἦν κατορθώσεως, οὐδὲν παρέλιπε τῆς ἀνδρείας, καὶ τόλμης· ἐπεὶ δὲ τὰ τῶν Καρχηδονίων περιέστη πράγματα, ναυτικῇ μάχῃ ἡσσημένων ὑπὸ τῶν Ῥωμαίων, αὐτὸς σπουδῇ, καὶ νουνεχῶς συνέργησε ταῖς πρὸς τοὺς Ῥωμαίους σπονδαῖς· καλῶς διελὼν τοὺς καιροὺς, μήτ᾽ ἰδίᾳ τοῦ φιλοτιμίᾳ, καὶ ἔχθρᾳ προδοὺς τὰς κοινὰς τῆς αὐτοῦ πατρίδος ἐλπίδας.

(β΄) Αἱ τῶν Ἱππακριτῶν, καὶ τῶν Ἰτυκαίων πόλεις, ἐν τῷ Λιβυκῷ πολέμῳ τῶν Καρχηδονίων ἀφεστῶσαι, αἱ πρὶν αὐτοῖς οἰκειόταται τυγχάνουσαι, καὶ πρὸς τοὺς Λίβυας ἄλλους συνωμοκότας μεθιστάμεναι ἄνευ τινὸς εὐλόγου προφάσεως· πρὸς δὲ καὶ τοὺς αὐταῖς πάλαι παραβεβοηθηκότας τῶν Καρχηδονίων, ἐν φρουραῖς ὄντας τῆς πόλεως, ἀποκτείναντες, καὶ ἅμα τὸν τούτων ἡγεμόνα θανατώσαντες, τοὺς δὲ νεκροὺς ἀπορρίψαντες ἀπὸ τείχους, καὶ βουλομένους θάψαι Καρχηδονίους κωλύσαντες, μηδ᾽ ἐπιτρέψαντες δεομένοις, τέλος ὑπὸ τῶν Καρχηδονίων ἡσσημένοι,

μηδ᾽

gnitionem venire, ſimiliter & ii, quos diximus, duces, paribus fere copiis, atque virtutibus in Sicilia congredientes, ac certantes, non poterant facile dignoſci, uter utri praeſtaret?

III. Eiuſdem Imperatoris munus eſſe iudicandum eſt, perſpicere poſſe, quodnam ſit vincendi tempus, quodque hoſtibus cedendi (1).

IV. Plurimum intereſt (2), eiuſmodi peccata

(1) Amilcar, dux Carthaginenſium, qui multa adverſus Romanos egregie, ac feliciter geſſerat in bello Sicilienſi, quamvis ipſe Romanorum eſſet inimiciſſimus, ac ſtudioſiſſimus belli, quod adverſus eos ſuſceptum a Carthaginenſibus fuerat, attamen, quamdiu quidem ſpes victoriae fuit aliqua, nihil praetermiſit audaciae, & fortitudinis; idem vero, in deteriorem partem converſis Carthaginenſium rebus, poſtquam hi, navali praelio ſuperati a Romanis fuerant, ad foedus cum Romanis, pacemque ineundam, omni contentione, ac ſtudio, operam ſuam praeſtitit, tempora praeclare diſcernens: neque ex privata ambitione, & inimicitiis communem patriae ſpem prodendam cenſuit.

(2) Cum urbes Hippacritarum, & Uticenſium in bello Lybico a Carthaginēſibus, ſine probabili cauſa, & ratione, deſciviſſent, quae fuerant iiſdem antea omnium maxime ſociae, & amicae: praeterea cum & Carthaginenſiū illos, qui ſibi praeſidio venerant, una cum duce eorum, interfeciſſent, ipſorumque corpora e moenibus proieciſſent, ac prohibuiſſent Carthaginenſes, ne illa ſepulturae darent, ac ſupplices ea de re ad ſe venientes repuliſſent, ad

πρὸς ἐχθροὺς ἡμαρτηκυίας) μεγάλην ἔχει διαφορὰν ἡ μετριότης, ϗ μηδὲν ἀνήκεστον ἐπιτηδεύειν ἑκουσίως.

ε' Τῷ εἰς ἀλλοτρίαν καθέντι χώραν στρατόπεδα, καὶ παραδόξοις ἐγχειροῦντα πράγμασιν εἷς τρόπος ἐστὶν οὗτος σωτηρίας, τὸ συνεχῶς καινοποιεῖν ἀεὶ (α') τὰς τῶν συμμάχων ἐλπίδας. Βιβ. γ'

ς' Οὐκ εἰκὸς ἄλλως· ὡς εἴτις οἴεται κυριώτερόν τι μέρος εἶναι στρατηγίας τοῦ γνῶναι τὴν προαίρεσιν, καὶ φύσιν τοῦ τῶν ἐναντίων ἡγεμόνος, ἀγνοεῖ, ϗ τετύφωται (β'). Καθάπερ γὰρ ἐπὶ τῶν κατ' ἄνδρα,

---

μηδ' ἀφορμὴν εἶχον, ϗ παῤῥησίαν πρὸς διάλυσιν, ὥστε τεύξεσθαι ἐλέου, ϗ συγγνώμης. Οὐκοῦν παραινεῖ ὁ Πολύβιος μηδὲν ἀνήκεστόν πως ἁμαρτάνειν εἰς τοὺς πολεμίους· ὥστ' ἐπταικότας μηδεμίαν ἔχειν σωτηρίας ἐλπίδα περίλοιπον. Ὁ γὰρ ἄρης κοινὸς, καὶ ἄδηλος ἡ μέλλουσα τύχη.

(α') Ἐνταῦθ' ὁ Συγγραφεὺς ἐγκωμιάζει τὸν Ἀννίβαν, ὃς εἰσελάσας εἰς τὴν Ἰταλίαν μετὰ τῆς δυνάμεως, καὶ τοὺς Κελτοὺς ἀγαγὼν αὐτῷ εἰς συμμαχίαν, ἐκείνων τοὺς θυμοὺς ἀεί πως ἠρέθιζε, καὶ συνεχῶς εἰς μείζω ἦγεν ἐλπίδα παραβόλοις ἐγχειρήσεσι, ϗ πράξεσιν· ἵνα μὴ ἀθυμοῦντες, ϗ διαπιστοῦντες τῇ τῶν Καρχηδονίων ἀρετῇ ἀποστήσωνται πρὸς τοὺς Ῥωμαίους.

(β') Προθυμηθεὶς ὁ Ἀννίβας Φλαμίνιον, στρατηγὸν τῶν Ῥωμαίων ἐκκαλέσαι εἰς μάχην, ϗ νοήσας ἐκεῖνον ὀχλοκόπον ὄντα, ϗ δημαγωγὸν ἄνδρα, αὐτὸν δ' ἀφυῆ πρὸς τὸν

cata (quae in bello comittuntur adverſus hoſtes) moderata eſſe: ac nihil ultro moliendum eſt, quod nulla medicina ſanari poſſit.

V. Ei, qui alienam in regionem exercitum immiſerit, atque illa velit aggredi, quae ſuperant hominum opinionem, ac fidem, una eſt ſalutis via (1), ſi belli ſocios in novas concontinuo ſpes erigat. *Ex l. 3.*

VI. Minime dici aliter nequit: quod, ſi quis ullā aliam principaliorem Imperatoriae artis, atque ſcientiae partem eſſe arbitratur, quam ut is ducis hoſtium ſtudia, atque indolem perſpiciat (2), ille caecutire exiſtimādus

ad extremum victae nequidem ſibi locum ad diſſolvendas inimicitias, veniamque, & miſericordiam impetrandam reliquum fecerant. Quocirca rite monet Polybius, nil huiuſmodi, quod nullo remedio ſanari poſſit, peccare in hoſtes; ut, cum gravis belli offenſio inciderit, nulla conſequendae ſalutis ſpes relinquatur. Incerta quippe fortuna eſt, Marſque communis.

(1) Scriptor laudat hic Annibalem, qui, cum in Italiam traieciſſet cum exercitu, Celtaſque ad belli ſocietatem ſibi adiunxiſſet, aſſidue eorumdem animos acuebat, & ad maiorem continuo ſpem iis conatibus, ac facinoribus excitabat, quae hominum opinionem ſuperarent: ne videlicet conciderent animis, ac virtuti Carthaginenſium diffiſi, ad Romanos deſciſcerent.

(2) Cum Annibal cuperet Flaminium, Rom. ducem, ad praelium evocare; atque illum popularem hominem ſciret eſſe, ac favoris, plauſuſque multitudinis ſtudio-

δρα, καὶ ζυγὸν ἀγωνισμάτων δεῖ τὸν μέλλοντα νικᾷν συνθεωρεῖν, πῶς δυνατὸν ἐφικέσθαι τοῦ σκοποῦ, καὶ τί γυμνὸν, ἢ ποῖον ἔξοπλον μέρος φαίνεται τῶν ἀνταγωνιστῶν, οὕτω χρὴ καὶ τοὺς ὑπὲρ τῶν ὅλων προεστῶτας σκοπεῖν, οὐχ ὅπου τι τοῦ σώματος γυμνὸν, ἀλλὰ ποῦ τῆς ψυχῆς εὐχείρωτόν τι παραφαίνεται τοῦ τῶν ἐναντίων ἡγεμόνος. Ἐπειδὴ πολλοὶ μὲν διὰ ῥαθυμίαν, καὶ τὴν σύμπασαν ἀργίαν οὐ μόνον τὰς κοινὰς πράξεις, ἀλλὰ καὶ τοὺς ἰδίους καταπροΐενται βίους ἄρδην· πολλοὶ δὲ διὰ τὴν πρὸς τὸν οἶνον ἐπιθυμίαν οὐδ᾽ ὑπνῶσαι δύνανται χωρὶς ἀλλοιώσεως, καὶ μέθης· ἔνιοι δὲ διὰ τὴν πρὸς τὰς τῶν ἀφροδισίων ὁρμὰς, καὶ τὴν ἐν τούτοις ἔκπληξιν οὐ μόνον πόλεις καὶ βίους ἀναστάτους πεποιήκασιν· ἀλλὰ καὶ τὸ ζῆν αὐτῶν ἀφῄρηνται μετ᾽ αἰσχύνης. Καὶ μὴν δειλία, καὶ βλακεία κατ᾽ ἰδίαν μὲν αὐτοῖς ὄνειδος ἐπιφέρει τοῖς ἔχουσι· περὶ δὲ τὸν τῶν ὅλων ἡγε-

---

τὸν ἐν τοῖς πολέμοις χειρισμὸν πραγμάτων, ἔγνω τὸν χάρακα, ἐν ᾧ στρατοπεδεύσας ἐτύγχανε, παραλλάξαι μετὰ δυνάμεως, καὶ εἰς τὰ πρόσω παρελαύνειν· πεπεισμένος, ἐκεῖνον δι᾽ ἀλογίαν μὴ δυνάμενον ὑπομεῖναι τὸν ἐπιτωθασμὸν τοῦ λαοῦ, μέλλειν ἐξελθεῖν ἐπὶ τὴν μάχην· ὃ καὶ ἐγένετο μεθ᾽ ὁλοκλήρου συμφορᾶς, καὶ ἥττης τῶν Ῥωμαίων. Ὅθεν παραινεῖ Πολύβιος, διαφέρειν ὅτι μέγιστα κατανοῆσαι τὸ φρόνημα, καὶ τὰ ἤθη τοῦ τῶν ὑπεναντίων ἡγεμόνος.

eſt, ac ſumma rerum in ignoratione verſari. Nam ut iis in pugnis, in quibus vir cum viro, aequo certamine, confligit, victoriae cupidum oportet conſiderare, qua maxime ratione propoſitum ſuum conſequi poſſit: quaeque pars adverſarii nuda, & inermis pateat: ita qui praeſunt rerum ſummae gerendae, ſpectare debent, non quâ pars corporis quaepiam nuda ſit, ſed qua ex parte animi, qui hoſtibus imperat, capi, ac teneri poſſit. Namque multi propter ignaviam, & omnem inertiam animi, non ſolum publicas res, ſed proprias etiam vitas funditus proiiciunt. Multi vero propter vinolentiam nec ſomnum capere poſſunt, quin ebrii iaceant, abalienati a mente, ac ſenſibus. Fuere praeterea, qui praecipites venereas in res delati, ac inde de mentis ſtatu depulſi, non urbes ſolum, ac vitas civium penitus everterent, ſed etiam ſuas vitas cum probro, ac dedecore, amitterent.

G 4 Atque

ſiſſimum; eundem vero ineptum ad res bellicas tractandas, illud cepit conſilii, ut vallum, quo Flaminius exercitum continebat, tranſiret cum ſuis copiis, atque ultra proveheretur; ratus eundem, cum populi cavillationes ob nequitiam ſuam ſuſtinere non poſſet, e caſtris ad praelium egreſſurum: quod & evenit cum ſumma Romanorum clade, ac calamitate. Quamobrem monet Polybius, intereſſe plurimum, ut ſententia, moreſque eius, qui hoſtes ducit, noſcantur.

ἡγεμόνα γινομένη, κοινόν ἐστι, καὶ μέγιστον συμπτωμάτων. Οὐ γὰρ μόνον ἀπράκτους ποιεῖ τοὺς ὑποταττομένους, πολλάκις δὲ καὶ κινδύνους ἐπιφέρει τοὺς μεγίστους τοῖς πεπιστευκόσι. Προπέτειά γε μὴν, καὶ θρασύτης, καὶ θυμὸς ἄλογος, ἔτι δὲ κενοδοξία, καὶ τῦφος εὐχείρωτα μὲν τοῖς ἐχθροῖς, ἐπισφαλέστατα δὲ τοῖς φίλοις· πρὸς γὰρ πᾶσαν ἐπιβουλὴν, ἐνέδραν, ἀπάτην ἕτοιμος ὅ γε τοιοῦτος. Διόπερ εἴ τις δύναιτο συννοεῖν τὰ περὶ τοὺς πέλας ἁμαρτήματα, καὶ τῇδέ που προσιέναι τοῖς ὑπεναντίοις, ᾗ μάλιστα, καὶ δι' ὧν εὐχείρωτος ἔσται ὁ προεστὼς τῶν πολεμίων, τάχιστ' ἂν τῶν ὅλων κατακρατείη. Καθάπερ γὰρ νεὼς, ἐὰν ἀφέλῃ τις τὸν κυβερνήτην, τὸ ὅλον αὐτανδρὶ σκάφος ὑποχείριον γίγνεται τοῖς ἐχθροῖς, τὸν αὐτὸν τρόπον ἐὰν τὸν προεστῶτα ἐν πολέμῳ δυνάμεως χειρώσηταί τις κατὰ τὰς ἐπιβολάς, καὶ συλλογισμοὺς, αὐτανδρὶ γίγνεται πολλάκις κρατεῖν τῶν ἀντιταττομένων. Βιβ. γ'

ζ Βαρύτατος δὴ πᾶσιν ἀνθρώποις ἡ τοῦ μέλλοντος γίνεται χρόνος· ὅταν δὲ ἅπαξ

κρι-

Atque etiam timiditas, & mollities animi, cũ privatim hominibus dedecus, atque ignominiam affert, tum eadem in ſummo Imperatore poſita graviſsimae, & communi aerumnae, atque incommodo eſſe conſuevit. Ipſa enim non eos ſolummodo ſocordes, & inertes reddit, qui ſubiiciuntur; ſed etiam his, qui ſeſe commiſerint illius fidei, maxima pericula importat ſaepiſsime. Animus vero in agendo praeceps, & audax, & inconſultus, praeterea ambitio, ac faſtus, percommoda hoſtibus, a quibus expugnentur, eademque amicis periculoſiſsima accidunt. Qui enim ita ſe habet, is omnibus patet fraudibus, & inſidiis. Quãobrem ſi quiſpiam proximorum peccata cognoſcere poſſet, quaque ex parte peccatur, progredi in hoſtes: unde nimirum eorumdem dux facile expugnari queat, is omnium celerrime rerum ſumma potiretur. Etenim ut navis, ſi quis gubernatorem ſuſtulerit, tota, cum his una, qui eadem vehuntur, in hoſtiũ manus venit, eodem modo, ſi quiſpiam in bello imperatorem adverſi exercitus ceperit in his, quae aggreditur, moliturque, de univerſis ſaepe hoſtibus victor diſcedit. *Ex l.3.*

VII. Illud temporis, quo eventus aliquis futurus expectatur, omnibus hominibus graviſſi-

κριθῇ, ὅ, τι ἂν ᾖ πάσχειν πάντων τῶν δοκούντων εἶναι δεινῶν, ὑπομενετέον (α').

ή Πᾶς ὁ κινδυνεύων ἕως μὲν ἄν τινος ἐλπίδος ἀντέχηται παρὰ τῶν οἰκείων, καὶ συμμάχων, προσανέχειν φιλεῖ ταύταις· ὅταν δὲ δυσχερῶν ἀπογνῷ, τότ' ἤδη βοηθεῖν ἀναγκάζεται αὐτῷ κατὰ δύναμιν. Βιβ. δ'

θ' Τὸ παραιρεῖσθαι τῶν πολεμίων, καὶ καταφθείρειν φρούρια, λιμένας, πόλεις, ἄνδρας, ναῦς, καρποὺς, τἄλλα τὰ τούτοις παραπλήσια· δι' ὧν τοὺς μὲν ὑπεναντίους ἀσθενεστέρους ἄν τις ποιήσαι· τὰ δὲ σφέτερα πράγματα, καὶ τὰς ἐπιβολὰς δυναμικωτέρας, ταῦτα μὲν ἀναγκάζουσιν οἱ τοῦ πολέμου νόμοι, καὶ τὰ τούτων δίκαια δρᾷν· τὰ δὲ μήτε τοῖς ἰδίοις πράγμασιν ἐπικουρίαν μέλλοντα μηδ'

(α') Οἱ τῶν Ῥωμαίων στρατιῶται ἀγανακτοῦντες τὴν μάχην ἀναβάλλεσθαι, ἅτε μεγίστας περὶ τῆς νίκης ἐλπίδας κατειληφότες ἐκ τοῦ πρὸ ὀλίγου αὐτοῖς γενομένου προτερήματος· πρὸς δὲ καὶ τοῦ Ἀννίβου ἐκ προνοίας αὐτοὺς παροξύναντος εἰς μάχην, τέλος πρὸς τὸ κινδυνεύειν ὁρμῶντες, καὶ προπετῶς ὑπὸ τοῦ Γαΐου Τερεντίου συμβαλόντες τοῖς Καρχηδονίοις, ἄρδην ἀπώλοντο, τὴν μεγίστην πρὸς Κάννας ἧτταν ἡσσημένοι. Τοιγαροῦν ὁ Συγγραφεὺς λέγει, βαρύτατον τοῖς ὁρμῶσι γίγνεσθαι τὴν μέλλησιν, καὶ τὴν προσδοκίαν τοῦ ἐπιφερομένου χρόνου· ἅπαξ δὲ ὁρμήσασιν ὑπομενετέον, ὅ τι ἂν δύσχρηστον φέρῃ ἡ τύχη.

visſimum eſſe ſolet. At cum de re ſemel actum fuerit, quodcumque acciderit malorum, perferendum eſt (1).

VIII. Quiſquis in aliquo diſcrimine verſatur, quamdiu is ſpem nonnullam habet poſitam in domeſticorum, ſociorumque auxilio, huic animo ſolet adhaereſcere. Cum vero de hoc deſperaverit, laborans ullo incommodo, & dolore, tum ſibi pro virili cogitur opitulari. *Ex l.* 4.

IX. Quod quiſpiam auferat ab hoſtibus, ac perdat urbium propugnacula, & praeſidia, portus, civitates, viros, naves, fructus, aliaque id genus, unde hoſtes imbecilliores faciat, ſuis vero rebus, atque conatibus vires adiungat, id agit ille, quod belli leges, harumque iura facere cogunt. Ea vero labefactare, quae propriis rebus nihil adiumenti alla-

(1) Cum milites Rom. aegre ferrent praelium a ſuis ducibus differri, quod maximam de victoria ſpem ex re paulo ante feliciter geſta, concepiſſent, ac iam Annibal eoſdem de induſtria ad pugnandum provocaret, ad extremum, praecipiti impetu ad aleam Martis tentandam incitati, ac cum Carthaginenſibus congreſſi, Caio Terentio duce, victi penitus, ac proſtrati ſunt, maxima apud Cannas clade accepta. Quocirca Hiſtoricus ait, viris impetu aliquo concitatis eſſe moleſtiſſimum, expectare futurum tempus: at cum ſemel impetus factus fuerit, ſuſtinendum eſſe, quodcumque mali fortuna tulerit.

μηδ᾽ ἡντινοῦν παρασκευάζειν, μήτε τοῖς ἐχθροῖς ἐλάττωσιν πρός γε τὸν ἐνεστῶτα πόλεμον, ἐκ περιττοῦ τοὺς ναοὺς (α′), ἅμα δὲ τούτοις ἀνδριάντας, καὶ πᾶσαν δὴ τὴν τοιαύτην παρασκευὴν λυμαίνεσθαι, πῶς οὐκ ἂν εἴποι τις εἶναι τρόπου, καὶ θυμοῦ λυττῶντος ἔργον; Οὐ γὰρ ἐν ἀπωλείᾳ δεῖ, καὶ ἀφανισμῷ τοῖς ἀγνώμοσι πολεμεῖν τοὺς ἀγα-

---

(α′) Ὁ Φίλιππος τόλμῃ παραβόλῳ δὴ χρησάμενος, καὶ εἰς τὸ Θέρμον των Αἰτωλῶν, τόπον ἤδη πάντων ὄντα φύσει ὀχυρώτατον, ἐξ ἀπροσδοκήτου εἰσελάσας μετὰ δυνάμεως, ἐνόησε τὰ τοῖς Αἰτωλοῖς πάλαι ἠδικημένα, καὶ εἰργασμένα πάνυ ἀσεβῶς πρὸς τοὺς τῶν θεῶν ναοὺς ἐν Δίῳ καὶ Δοδώνῃ, ἐκδικεῖν· οὗ χάριν αὐτὸς οὐχ οἷον τὰ πολεμικὰ σκεύη, ὅσα εὗρε, διέφθειρε, καὶ τὴν κατασκευὴν ἄλλην διήρπασε κατὰ τοὺς πολεμικοὺς νόμους, καὶ δίκαια, ἀλλὰ καὶ τὰς στοὰς, καὶ τὰ ἀναθήματα, ὄντα δὴ πολυτελέστατα κατελυμήνατο πυρί. πρὸς δὲ, τοὺς ἀνδριάντας ἀνέτρεψε, καὶ οἰκοδομήματα κατέσκαψεν εἰς ἔδαφος· τιμωρεῖν νομίσας τοῖς θεοῖς, δι᾽ ὧν αὐτοὺς ᾤετο τὰ μέγιστα ἠσεβῆσθαι ὑπὸ τῶν Αἰτωλῶν· Ὅθεν εἰκότως ἐκεῖνος ὑπὸ τοῦ συγγραφέως διασύρεται, καὶ ἐλέγχεται· αὐτὸς δὲ λέγει συνόλως παροινεῖν, καὶ ἐκμαίνεσθαι, ὅστις ὀργὴν, τὴν εἰς τοὺς ἀμυνομένους τῶν πολεμίων ἐκχυθῆναί πως ὀφείλουσαν, εἰς τὰ ἄλογα, καὶ ἄψυχα δὴ ἀποστρέψῃ τῶν χρημάτων, μηδὲν βλάπτειν δυνάμενα ὡς εἰς τὸν παρόντα καιρόν. Ὁ δὲ Κῦρος παρὰ Ξενοφῶντι, εἰσβαλὼν εἰς τὴν Βαβυλῶνος χώραν, νουνεχῶς πάνυ, καὶ φρονίμως τοῖς περὶ αὐτὸν κελεύει, τοὺς μὲν ἀμυνομένους τῶν ἐχθρῶν ἀποκτεῖναι „ τοῦτο γὰρ, ἔφη, μάλιστα σώζει τὴν νίκην „ τοὺς δὲ ἡσυχάζοντας ἐθέλει σώζεσθαι „ οἰκουμένη γὰρ, ἔφη, χώρα, πολλοῦ ἄξιον κτῆμα· ἐρήμη δ᾽ ἀνθρώπων οὖσα, ἐρήμη καὶ τῶν ἀγαθῶν γίγνεται „. Κυρ. παιδ. δ′

allatura sint, nec hostium vires, quantum ad praesens bellum attinet, imminutura; quin & delubra (1), atque unâ simulachra, & omnem eiusmodi supellectilem devastare, quid ni existimandum est, insanientis, furentisque animi proprium esse, ac naturae? Neque etenim boni, & honesti viri ad internecionem usque, & vastitatem cum ingratis, ac nequam debent confligere: sed bella ad eum finē suscipienda sunt, ut quae peccata fuerint ab

(1) Cum Philippus incredibili audacia in Thermum Aetolorum, locum natura munitissimum, ex improviso cum exercitu irrupisset, ea ulcisci decrevit, quae Aetoli adversus deorum fana in Dio, ac Dodona impie, & consceleratе admiserant. Cuius rei causa non solum bellica instrumenta dissipavit, ac perdidit, reliquamque supellectilem, iuxta bellica iura, ac leges, depraedatus est, sed etiam porticus, ac donaria, quamvis sumptuosissima, igne consumpsit; evertit simulachra, atque alia aedificia solo aequavit: existimans per haec ipsa se ulcisci deos, per quae eosdem putabat ab Aetolis violatos fuisse. Quamobrem merito a Polybio reprehenditur: additque, eos duces insanire, ac furere, qui iracundiam suam, quam resistentes in hostes effundi oportebat, in res inanimes, ac rationis expertes convertunt, quae nihil in praesentia laedere possint. At Cyrus apud Xenophontem, cum Babylonicam in regionem invasisset, optima mente, atque consilio, praecipit suis, quo resistentes quidem interficiant: *id enim*, ait, *victoriam tuetur*: eos vero servandos iubet, qui nihil negotii exhiberent: *nam regio*, inquit, *si incolas suos habuerit, magno in pretio habenda est*; *eadem vero sola, ac deserta ab hominibus, vel bonorum fit expers*. Xenoph. Cyropaed. l. IV.

ἀγαθοὺς ἄνδρας, ἀλλ' ἐπὶ διορθώσει, καὶ μεταθέσει τῶν ἡμαρτημένων· οὐδὲ συναναιρεῖν τὰ μηδὲν ἀδικοῦντα τοῖς ἠδικηκόσιν· ἀλλὰ σώζειν, καὶ συνεξαιρεῖσθαι τοῖς ἐναντίοις τοὺς δοκοῦντας ἀδικεῖν. Τυράννου μὲν γὰρ ἔργον ἐστὶ, τὸ κακῶς ποιοῦντα, τῷ φόβῳ δεσπόζειν ἀκουσίων, μισούμενον, καὶ μισοῦντα τοὺς ὑποταττομένους· βασιλέως δὲ, τὸ πάντας εὖ ποιοῦντα διὰ τὴν εὐεργεσίαν, καὶ φιλανθρωπίαν ἀγαπώμενον, ἑκόντων ἡγεῖσθαι, καὶ προστατεῖν. Βιβ. ε

ι Τὸ νικῆσαι τοὺς πολεμίους καλοκαγαθίᾳ, καὶ τοῖς δικαίοις, οὐκ ἐλάττω, μείζω δὲ παρέχεται χρείαν τῶν ἐν τοῖς ὅπλοις κατορθωμάτων· οἷς μὲν γὰρ δι' ἀνάγκην, οἷς δὲ κατὰ προαίρεσιν εἴκουσιν οἱ ληφθέντες· καὶ τὰ μὲν μετὰ μεγάλων ἐλαττωμάτων ποιεῖται τὴν διόρθωσιν· τὰ δὲ χωρὶς βλάβης πρὸς τὸ βέλτιον μετατίθησι τοὺς ἁμαρτάνοντας· τὸ δὲ μέγιστον, ἐν οἷς μὲν τὸ πλεῖστον ἔτι τῆς πράξεως τῶν ὑποταττομένων· ἐν οἷς δ' αὐτοτελὴς ἡ νίκη γίγνεται τῶν ἡγουμένων.

ιά Καί μοι δοκεῖ πάντων τῶν ζώων ἀπαραλογιστότατον ὑπάρχειν ἄνθρωπος, δοκοῦν εἶναι πανουργότατον· πᾶσαι μὲν γὰρ παρεμβολαὶ, καὶ

φρού-

ab hostibus, corrigantur, & emendentur: nec cum his, qui peccarunt, una delenda sunt ea, quae nihil peccant, sed integra servanda. Illi vero simul cum hostibus tollendi sunt, qui detrimenti, & iniuriae aliquid importare videantur. Proprium quippe Tyranni est, per vim, & iniuriam, invitos in homines, coercitos timore, imperium exercere: una exosum, & odio habentem hosce, qui sibi subiiciuntur. Est vero Regis, bene de omnibus mereri, atque omnibus, propter beneficentiam, & humanitatem carum iucundumque, praeesse, atque imperare lubẽtibus.

X. Hostes vincere bonitate, ac iustitia non minorem, imo & maiorem affert utilitatem, quam armis, & vi eosdem superare. Hisce quippe necessitate, illis proposito, ac voluntate cedunt, qui vincuntur. Atque haec cum magnis detrimentis corrigunt, illa vero sine ulla iactura meliores faciunt, qui peccaverint. Quod vero praecipuum est, in armis maiorem habet partem militum opera, ac virtus, in bonitate autem, ac iustitia, integra victoria ducibus tribuenda est.

XI. Homo mihi caeterorum omnium animantium inconsultissimus videtur, cum is callidissimus omnium esse videatur. Quae enim

φρούρια, πόσαι δὲ, καὶ ἡλίκαι πόλεις (α') τούτῳ τῷ τρόπῳ παρεσπόνδηνται; (τῷ ἤγουν ἀναδέξασθαι τοὺς πολεμίους, ὡς φίλους;) Καὶ τούτων οὕτω συνεχῶς, καὶ προφανῶς πολλοῖς ἤδη συμβεβηκότων, οὐκ οἶδ' ὅπως καινοί τινες ἀεὶ, καὶ νέοι πρὸς τὰς τοιαύτας ἀπάτας πεφύκαμεν. Τούτου δὲ αἴτιον, ὅτι τὰς τῶν πρότερον ἐπταικότων ἐν ἑκάστοις περιπετείας οὐ ποιούμεθα προχείρους· ἀλλὰ σίτου μὲν, καὶ χρημάτων πλῆθος, ἔτι δὲ τειχῶν, καὶ βελῶν κατασκευὰς μετὰ πολλῆς ταλαιπωρίας, καὶ δαπάνης ἑτοιμαζόμεθα πρὸς τὰ παράδοξα τῶν συμβαινόντων· ὃ δ' ἐστὶ ῥᾷστον τῶν ὄντων, μεγίστας δὲ παρέχεται τὰς χρείας ἐν τοῖς ἐπισφαλέσι καιροῖς, τούτου πάντες ὀλιγωροῦμεν, καὶ ταῦτα δυνάμενοι μετ' εὐχήμονος ἀναπαύσεως

ἅμα

(α') Οὐκ ἄλλως οἱ Σελγεῖς, ὧν πέρι ἐνταῦθ' ὁ Πολύβιος, πολιορκούμενοι ὑπὸ τῆς τοῦ Ἀχαιοῦ δυνάμεως, καὶ ἀξιώσαντες εἰρήνης, καὶ συνθηκῶν τεύξεσθαι παρ' ἐκείνου· ἐξεπίτηδες δὲ ὑπὸ τοῦ τῆς δυνάμεως ἡγεμόνος ἑλκομένου τοῦ χρόνου συμβάσεως, ἐν τῷ μεταξὺ οἱ Σελγεῖς τοὺς πολεμίους πρὸς τὰς σιταρχίας παρεισιόντας εἰς πόλιν ὑποδεξάμενοι ὡς φίλους, μικροῦ δέοντες ἀπωλέκασι δὴ τὴν πατρίδα. Οἱ γὰρ πολέμιοι παρὰ τοῖς ἔνδον προδόταις λάθρα συνελθόντες, καὶ συναθροισθέντες, τοῦ πλήθους ἀσχολουμένου τέως περὶ τὴν τῶν συνθηκῶν βεβαίωσιν, ἐξανδραποδίσειαν ἀπαραιτήτως τὴν πόλιν, εἰ μὴ τυχεῖν αἰπόλου τινὸς τὸ πρᾶγμα κατανοήσαντος, καὶ ἀπαγγείλαντος εἰς τὴν πόλιν, ἐγερθεὶς ὁ λαὸς βοηθήσειε τοῖς πράγμασιν.

enim, quamque multa castra, & propugnacula, quae vero, quantaeque civitates proditae hoc modo fuere (1)? (quod hostes scilicet, tamquam amicos recepissent). Atque isthaec, cum tam crebra, tamque perspicua pluribus acciderint, cur novi semper ac pueri adversus eiusmodi fraudes, erroresque simus, non intelligo. Cuius quidem rei illa causa est, quod eorum calamitates, qui antea offenderunt, minime propositas habemus: sed frumenti, & pecuniae magnum numerum; murorum praeterea, ac telorum apparatus, multo cum negotio, & impensa, instruimus ad ea propulsanda, quae rarissime accidunt. Quod vero omnium facillimum, & opportunissimum est periculosis temporibus, cuncti negligimus, praesertim cum scientiam eius-

 modi

(1) Non aliter Selgenses (de quibus hic loquitur Polybius) obsessi Achaei copiis, pacisque, ac foederis impetrandi studiosi, cum dux hostium de industria tempus feriundi foederis procrastinaret, interea hostes ipsos, in civitatem advenientes ad annonam comparandam, tamquam amicos admittebant: in quo parum abfuit, quin penitus Patriam amitterent. Illi enim apud proditores clam convenientes, dum vulgus erat occupatum in foedere confirmando, urbem iam expugnassent, nisi forte quidam caprarius, perspecta eminus re, in urbem civibus id, quod gerebatur, denuntiasset, & illi hoc nuntio excitati, rebus succurrissent.

ἅμα, καὶ διαγωγῆς ἐκ τῆς ἱστορίας, καὶ πολυπραγμοσύνης περιποιεῖσθαι τὴν τοιαύτην ἐμπειρίαν.

ιβʹ Οὐκ ἔστιν ἐπὶ τοιαύτων πράξεων (ἐν τῷ δηλονότι ἀποχωρεῖν τῆς πολιορκίας, ἧς ἐπεχείρησας, δι' ἀμέλειαν) ἢ μὴ ποιῆσαί τι τῶν δεόντων, ἢ μηδὲν παθεῖν δεινόν· ἀλλ' ἅμα ταῖς ἀποτυχίαις (αʹ) ἕπεται βλάβη κατὰ πολλοὺς τρόπους· κατ' αὐτὸν μὲν τὸν τοῦ πράττειν καιρὸν κίνδυνος περὶ τοὺς ἀρίστους τῶν ἀνδρῶν· ἔτι δὲ μᾶλλον κατὰ τὰς ἀπολύσεις, ὅταν ἅπαξ καταφρονηθῶσι· πολλὰ δὲ καὶ λίαν τῶν τοιούτων ἐστὶ παραδείγματα· πλείους γὰρ ἂν εὕροι τίς τῶν ἀποτυγχανόντων ἐν ταῖς τοιαύταις ἐπιβολαῖς, τοὺς μὲν ἀπολωλότας, τοὺς δὲ εἰς τὸν ἔσχατον παραγεγονότας κίνδυνον

τῶν

(αʹ) Οὕτως ὁ Φίλιππος (ὡς διηγεῖται Πολύβιος) πρὸς Μελίτειαν ἥξας ἐξ ἀπροσδοκήτου, καὶ πολιορκεῖν ἐπιχειρήσας τὴν πόλιν, διὰ τὸ τοὺς κλίμακας ἔχειν ὀλίγῳ ἐλάσσους τῆς χρείας, διεψεύσθη τῆς πράξεως, πολλοὺς ἀποβαλὼν τῶν ἰδίων. Ὁ συγγραφεὺς οὖν ἐξηγεῖται τὸν κίνδυνον, τὸν ἐν ταῖς τοιαύταις ἀποτυχίαις εἰωθότα γίγνεσθαι· καὶ συμβουλεύει, μήποτε τῆς τοιαύτης ἐπιβολῆς ἀπαρασκεύους ἅψασθαι τοὺς ἡγεμόνας.

modi, ac peritiam honesto cum otio, commodaque vivendi ratione, ex historiae studio nimirum, ac diligenti animadversione, comparare possimus.

XII. Eiusmodi in actionibus (cum scilicet ab urbis obsidione, quam aggressus iam fueras, propter rerum negligentiam, disceditur) minime integrum est, vel non praestare, quae oportebat, vel nihil inde mali perpeti: verum hoc ipso, quo propositum non assequeris, multiplici ratione damnum (1) consequitur. Ac primum, ipso discriminis illius tempore, optimi, ac strenui milites summum in periculum adducuntur: idque tunc amplius contingit, cum in discedendo, ab hostibus semel contemni coeperint. Cuius quidem rei plura etiam, quā opus sit, exempla nobis suppetūt. Licet enim plures invenire, qui, cum ab eiusmodi incaeptis aberrassent, penitus interierint; aut cum integri, ac sospites inde eva-

(1) Hoc modo Philippus (uti narrat Polybius) cum repente ad Meliteam pervenisset, & urbem coepisset oppugnare, inde repulsus est, quod scalas paulo quam opus erat, breviores haberet: quo in discrimine plures etiam suorum amisit. Quamobrem Historicus narrat, quodnam adeant periculum, qui in eiusmodi re peccarint; atque hortatur, ne quando talia duces aggrediantur non parati.

τῶν ἀβλαβῶς ἀπολελυμένων· πρός γε μὴν τὸ μέλλον ὁμολογουμένως ἀπιστίαν, καὶ μῖσος ἐξεργάζονται καθ' αὐτῶν· ἔτι δὲ φυλακὴν παραγγέλλουσι πᾶσιν· οὐ γὰρ μόνον τοῖς παροῦσιν, ἀλλὰ καὶ τοῖς συνοῦσι τὸ γεγονὸς τρόπον τινὰ παράγγελμα δίδοται, προσέχειν αὐτοῖς, καὶ φυλάττεσθαι.

ιγ' Ζηλοῦν χρὴ παράβολον ἔχειν τι, καὶ κινδυνῶδες· τοὐναντίον, ἀσφαλῆ μὲν τὴν τόλμαν, θαυμαστίαν δὲ τὴν ἐπίνοιαν (α')· ἀείμνηστον δὲ, καὶ καλὴν ἔχει τὴν προαίρεσιν καὶ κατορθωθέντα, καὶ διαψευσθέντα παραπλησίως, ἐὰν μόνον σὺν νῷ γίνηται τὰ πραττόμενα. Βιβ. θ'

ιδ' Πά-

(α') Ἐνταῦθ' ὁ Πολύβιος ἐπαινεῖ τὸν Ἀννίβαν, ὃς, ἐπεὶ μηδὲν ἤνυεν βουλόμενος τὴν πολιορκίαν ἀπολῦσαι, ἣν οἱ Ῥωμαῖοι ἐπολιόρκουν, Ἀππίου ἡγουμένου, τὴν Καπύην, ἐποίησε τὴν ἀναζυγὴν, ἐπὶ Ῥώμην δὲ ἤλασε μετὰ δυνάμεως· τοῦ ἀπὸ Καπύης ἀποσπᾶν τοὺς περὶ τὸν Ἄππιον, τῷ τῆς πατρίδος ἐδάφει, ὡς εἰκὸς, βοηθήσειν μέλλοντας. Πάλιν δὲ, ἐπεὶ καὶ οἱ περὶ τὸν Ἄππιον προσεκαρτέρουν Καππύην πολιορκοῦντες, μηδ' αὐτὸς ἐπικρατῆσαι Ῥώμης ὑπὸ συντυχίας τινὸς ἠδύνατο, ποιησάμενος τὴν πορείαν ἀνυπόπτως ἐπὶ Ῥήγιον, παρ' ὀλίγον κύριος ἐγένετο της πόλεως, πολλοὺς μὲν τῶν Ῥηγίνων αἰχμαλώτους ἀπήγαγεν ἀποκλείσας τοῦ ἄστεος. Ὡσαύτως Ἐπα-

fiſſent, in ſummum tamen diſcrimen venerint rerum ſuarum. At hi certiſſime odium adverſus ſe, ac diffidentiam, in omne poſterum tempus, ingenerant hominum animis; ac denuntiant omnibus, ut ſe caveant, ſeque obſervent. Non enim praeſentibus ſolum, ſed etiam caeteris, qui eventum auditione cognoverint, ſignum datur quodam modo, ut animis advertant, & excubent diligentiſſime.

XIII. Optandum ſane eſt, ut inſolens aliquod facinus, ac plenum diſcriminis aggrediare, ita tamen, ut firmam audaciam habeas, conſiliũque admiratione dignũ. Ipſae vero actiones praeclarã, atque immortalẽ ſuſcepti propoſiti habẽt laudẽ (1), ſive e ſententia proceſserint, ſive fefellerint ſpem, dummodo prudenter illae ſuſceptae, ac geſtae fuerint.

 XIV. Cum

(1) Laudat hic Annibalem Polybius, qui cupiens Capuam, a Romanis Appio duce obſeſſam, liberare, nec proficiens aliquid, cum exercitu Romam verſus profectus eſt, ut Appii copias, illo in diſcrimine Patriae opitulaturas, a Capua divelleret. Verum, cum & Appius obſidioni inſtaret, nec Annibal, ex caſu quodam, Roma potiri potuiſſet, clam ipſe Rhegium verſus exercitum adduxit, parumque abfuit, quin urbem in ſuam redigeret poteſtatem. Plures quidem Rheginos a civitate interclufit, & captivos abegit. Eodem modo (ut narrat ibidem Polybius) Epaminondas Thebanus, cum noſſet, Lacedaemonios Mantineam cum omnibus copiis ve-

ιδ΄ Πάσης δὴ πράξεως ἐχούσης καιρὸν ὡρισμένον, καὶ διάστημα, καὶ τόπον, καὶ προσδεομένης τοῦ λαθεῖν, καὶ συνθημάτων ὡρισμένων· ἔτι δὲ καὶ δι᾽ ὧν, καὶ μεθ᾽ ὧν, καὶ τίνι τρόπῳ πραχθήσεται, φανερόν, ὡς ὁ μὲν ἑκάστου τούτων εὐστοχήσας οὐχ ἁμαρτήσεται τῆς ἐπιβολῆς, ὁ δ᾽ ἑνὸς ὀλιγωρήσας σφαλήσεται τῆς ὅλης προθέσεως· οὕτως ἡ φύσις πρὸς τὰς ἀτυχίας τῶν ἐπινοηθέντων ἱκανὸν μὲν καὶ τὸ τυχὸν ἐποίησε τῶν κατὰ μέρος· πρὸς δὲ τὸ κατορθοῦν, μόλις ἱκανὰ πάντα. Διὸ χρὴ μηδενὸς ἀφροντιστεῖν ἐν ταῖς ἐπιβολαῖς τὸν ἡγουμένους. Ἔστι δὲ ἀρχὴ τῶν προειρημένων τὸ σιγᾶν, καὶ μήτε διὰ χαρὰν παραδόξου προφαινομένης ἐλπίδος, μήτε διὰ φόβον, μήτε διὰ συνήθειαν, μήτε διὰ φιλοστοργίαν μεταδιδόναι μηδενὶ τῶν ἐκτός. αὐταῖς γὰρ κοινοῦνται ταύτας, ὧν χωρὶς οὐχ οἷοί

τε

Ἐπαμεινώνδας Θηβαῖος (ὡς ὑπομιμνήσκει αὐτόθι Πολύβιος) κατανοήσας, Λακεδαιμονίους πανδημεὶ παραγεγονέτας εἰς Μαντίνειαν, πορευθεὶς ἐπὶ Σπάρτην μετὰ δυνάμεως, μικροῦ δεῖν αὐτῆς ἐκυρίευσε, καταλαβὼν ἔρημον· τῶν δὲ Λακεδαιμονίων ἐκ Μαντινείας εὐθὺς παραβοηθησάντων, ἐξ ὑποστροφῆς ὥρμησεν ἐπὶ τὴν Μαντίνειαν· καὶ μὲν αὐτῆς, ἐρήμου ἤδη γενομένης, ἐπικρατήσειεν, εἰ μὴ τυχὸν παρῆσαν οἱ Ἀθηναῖοι, τοῖς Λακεδαιμονίοις βοηθήσοντες, καὶ πρὸς τὸν αὐτὸν καιρὸν ἐκ συντυχίας ἀπαντῶντες τοῖς Θηβαίοις. Οὐκοῦν ὁ Πολύβιος τοιαύτας ἐπιβολάς, καὶ πράξεις, καίτοι τοῦ προκειμένου ἀποτυχούσας, εὐδοκιμεῖν ἀεὶ λέγει, μετὰ καλῆς βουλῆς γεγενημένας.

XIV. Cum actio quaevis certum habeat tempus, & intervallum, & locum (*quo perficienda sit*): praeterea silentium desideret, tum certas rerum ante pactarum notas, & indicia; quin etiam efflagitet, per quos, quibuscum, & quomodo eadem perficiatur, perspicuum iam illud est, eum, qui recte ista singula adeptus fuerit, a proposito suo neutiquam aberraturum: illum vero, qui vel unum horum neglexerit, nihil adepturum esse omnino, quod cogitaverit. Ita natura comparatum est, ut ad cogitata irrita facienda vel unumquodque par sit: ad eademque adipiscenda vix paria sint universa. Nihil itaque horum in re aggredienda negligendum est ducibus. Eorum vero, quae dicta sunt, primum, ac praecipuum est silentium; ac neque ob natam ex subita spe laeti-

 tiam,

venisse, Spartam versus egit exercitum, eademque pene potitus est, cum desertam invenisset. Itaque, cum Lacedaemonii confestim accurrissent e Mantinea, ut Spartae opem ferrent, converso ipse itinere in Mantineam impetum fecit, nactusque desertam ab omnibus tenuisset iam, nisi casu ad eamdem horam Athenienses Thebanis forte occurrissent, qui advenerant, Lacedaemoniis opem laturi. Polybius igitur eiusmodi facta, conatusque quamvis aberrent a re assequenda, semper gloriosa esse, ac laude digna affirmat, cum bono consilio suscepta, gestaque fuerint.

τε τὸ προτεθὲν ἐπὶ τέλος ἀγαγεῖν· καὶ τούτοις μὴ πρότερον, ἀλλ' ὅταν ὁ τῆς ἑκάστου χρείας καιρὸς ἐπαναγκάζῃ. Χρὴ δὲ σιγᾷν μὴ μόνον τῇ γλώττῃ, πολὺ δὲ μᾶλλον τῇ ψυχῇ· πολλοὶ γὰρ ἤδη κρύψαντες τοὺς λόγους, ποτὲ μὲν δι' αὐτῆς ἐπιφάσεως, ποτὲ δὲ καὶ διὰ τῶν πραττομένων φανερὰς ἐποίησαν τὰς ἑαυτῶν ἐπινοίας. Δεύτερον δὲ, ἐπεγνωκέναι τὰς ἡμερησίας, καὶ νυκτερινὰς πορείας, καὶ τὰ διανύσματα τούτων, μὴ μόνον κατὰ γῆν, ἀλλὰ καὶ κατὰ θάλατταν· τρίτον, καὶ μέγιστον τὸ ἐκ τοῦ περιέχοντος καιροῦ ἔχειν ἔννοιαν, καὶ δύνασθαι τούτου κατὰ τὸ κριθὲν εὐστοχεῖν. Καὶ μὴν οὐδὲ τὸν τρόπον τῆς πράξεως ἐν μικρῷ θετέον· ἐπειδὴ πολλάκις παρὰ τοῦτο τὰ μὲν ἀδύνατα δοκοῦντα εἶναι, δυνατὰ, τὰ δὲ δυνατὰ πέφυκεν ἀδύνατα. Τὸ δὲ τελευταῖον, συνθημάτων, καὶ παρασυνθημάτων (α'), ἔτι δὲ ἐκλογῆς, δι' ὧν καὶ μεθ' ὧν ἐνεργηθήσεται τὸ κριθὲν, οὐκ ὀλιγωρητέον. Τῶν δὲ προειρημένων τὰ μὲν ἐκ τριβῆς, τὰ δ' ἐξ ἱστορίας, τὰ δὲ κατ' ἐμπειρίαν μεθοδικὴν θεωρεῖται. Κάλλιστον

μὲν

(α') Οὕτως Ἄρατος ὁ νεώτερος, στρατηγὸς τῶν Ἀχαιῶν,

ἐν-

tiam, nec propter metum, nec propter consuetudinem, ac familiaritatem, nec propter benevolentiam, aliquid externis hominibus communicandum eſt, ſed ii tantummodo in conſilii ſocietatem advocandi, ſine quibus negotium confici non poteſt: & his ipſis non ante communicanda res, quam ipſum tempus, quo ſingula praeſtanda fuerint, coegerit: nec ſolum lingua tacendum, ſed etiam ac multo quidem magis animo. Nam multi cum ſermones celaſſent, aut externa facie, & aſpectu, aut factis ipſis conſilia ſua patefecerunt. Secundo neceſſe eſt, ut diurna, nocturnaque itinera, & horum conficiendorum rationes, ſive ea maritima fuerint, ſive terreſtria, Imperatores perſpecta habeant. Tertium vero illud, ac praecipuum eſt, ut ſcientiam temporum, quae ex caeli converſionibus pendet, adepti ſint, atque illa ad rem apte uti poſsint. Neque vero modus ipſe, quo agendum fuerit aliquid, parvi ducendus eſt. Siquidem inde ſaepe fit, ut, quae praeſtari non poſſe videbantur, re praeſtari poſsint; ac rurſus ea praeſtari nequeant, quae videbātur praeſtari poſſe. Poſtremo teſſerae, ac ſigna (I) & ho-

(1) Ita Aratus iunior, dux Achaeorum, ob duplicis ſigni

μὲν οὖν γιγνώσκειν αὐτὸν καὶ τὰς ὁδοὺς, καὶ τὸν τόπον, ἐφ' ὃν δεῖ παραγενέσθαι, καὶ τὴν φύσιν τοῦ τόπου· πρὸς δὲ τούτοις, δι' ὧν μέλλει, καὶ μεθ' ὧν πράττειν· δεύτερον δὲ ἱστορεῖν ἐπιμελῶς, καὶ μὴ πιστεύειν τοῖς τυχοῦσι. Τὴν δὲ τῶν καθηγουμένων πίστιν ἐπί τι τῶν τοιούτων, ἐν τοῖς ἑπομένοις δεῖ κεῖσθαι. Ταῦτα μὲν οὖν, καὶ τὰ τούτοις παραπλήσια δυνατὸν ἴσως καὶ δι' αὐτῆς τῆς στρατιωτικῆς τριβῆς περιγίγνεσθαι τοῖς ἡγουμένοις· τὰ μὲν ἐξ αὐτουργίας, τὰ δ' ἐξ ἱστορίας· τὰ δ' ἐκ τῆς ἐμπειρίας προσδεῖται μαθήσεως, καὶ θεωρημάτων, καὶ μάλιστα τῶν ἐξ ἀστρολογίας, καὶ γεωμετρίας· ὧν τὸ μὲν ἔργον οὐ μέγα πρός γε ταύτην τὴν χρείαν, τὸ δὲ χρῆμα μέγα, καὶ μεγάλα συνεργεῖν δυνάμενον πρὸς τὰς προειρημέ-

ἐνδείᾳ παρασυνθήματος, τοῦ τὴν Κυναιθέων πόλιν ἐξανδραποδίσαι ἀπεσφάλη, ὡς μετ' ὀλίγα διηγεῖται ὁ Συγγραφεύς. Καὶ γὰρ τοῖς ἔνδον προδόταις συνθέμενος, περὶ μὲν μεσημβρίαν ἐγγίσειν αὐτὸν μετὰ στρατεύματος τῇ πόλει· ὅταν δηλονότι τοῦ ἄστεος ἐξέλθῃ οὗτός τις ἐν ἱματίῳ, ἄλλος δὲ τυχὸν ἐξελθὼν φανείη, ᾧ πρόβατα δήπου ἦν ἐν τοῖς προαστείοις νεμόμενα, ὃν προείρητο τρόπον ἐστολισμένος, νομίσας αὐτὸν εἶναι τοῦτον, οὗ πέρι συνεπεφρονήκει τοῖς μισθάρνοις, ἐξορμῶν παρακαίρως μετὰ τοῦ στρατοπέδου, αὐτός τ' ἀπέτυχε τῆς ἐπιβολῆς, καὶ τοῖς ἔνδον φίλοις τῶν ἐσχάτων κακῶν αἴτιος ἐγένετο.

& horum internoscendorum certa pacta indicia; praeterea eorum delectus, per quos, ac quibuscum gerenda res est, minime sunt negligenda. Quorum alia ex diuturno usu, & exercitatione, ex Historia alia, alia ex ea peritia, quae modo, atque ordine in rebus omnibus procedit, cognoscuntur. Optimum sane est, ut idem & vias noverit, & locum, in quem fuerit veniendum, ac loci ipsius naturam: praeterea per quae, ac quibuscum res perficienda est. Alterum est, ut accurate, ac diligenter de his ipsis inquirat, nec quibusvis adhibeat fidem. Pignora autem, quibus eorum fides obligatur, qui sese ad opus eiusmodi aliquod duces praebuerint, illorum in manibus stare debent, qui sequuntur. Haec igitur, & alia his affinia ex ipso militari usu obvenire ducibus possunt: & quidem alia ex

---

signi inopiam, a Cynaethensium urbe expugnanda repulsus est, ut paulo post narrat Historicus. Nam cum is pactus esset cum proditoribus, ut propius accederet cum exercitu, quo tempore vir, pallio contectus, e civitate egressus fuisset, idque circa meridiem; ac forte alius exisset cum eodem vestitus genere, cui oves casu in suburbanis pascuis versabantur, & hunc, de quo convenerat, esse credidisset, intempestive facto impetu cum copiis, repulsus inde est, cum quidem amicis suis, & fautoribus, quos in urbe habebat, inde gravissima mala, & incommoda attulisset.

μένας μεταβολάς. Ἀναγκαιότατον δὲ αὐτοῦ τὸ περὶ τὰς νυκτερινὰς θεωρίας, καὶ τὰς ἡμερινάς. εἰ μὲν γὰρ ἴσας εἶναι συνέβαινε ταύτας ἀεὶ, οὐδ' ἧς τινος ἂν δυσκολίας τὸ πρᾶγμα προσεδεῖτο. κοινὴ δὲ ἦν ἁπάντων ἡ γνῶσις· ἐπεὶ δὲ οὐ μόνον ἔχει τὰ προειρημένα πρὸς ἄλληλα διαφορὰν, ἀλλὰ καὶ πρὸς αὑτὰ, δῆλον ὡς ἀνάγκη γινώσκειν καὶ τὰς αὐξήσεις, καὶ μειώσεις ἑκατέρων. πῶς γὰρ ἄν τις εὐστοχήσειε πορείας, καὶ διανύσματος ἡμερησίου, πῶς δὲ νυκτερινοῦ, μὴ καταvoήσας τὰς τῶν προειρημένων διαφορὰς (ά); Καὶ μὴν οὐδὲ πρὸς τὸν δέοντα καιρὸν ἐξικέσθαι δυνατὸν ἄνευ τῆς τούτων ἐμπειρίας· ἀλλὰ ποτὲ μὲν ὑστερεῖν, ποτὲ δὲ προτερεῖν ἀνάγκη· μεῖζον δὲ τὸ πρότερον ἐν μόνοις τούτοις ἁμάρτημα τοῦ καθυστερεῖν. Ὁ μὲν γὰρ ὑπεράρας τὸν ὡρισμένον καιρὸν, αὐτῆς ἀποτυγχάνει τῆς ἐλπίδος· τὸ μὲν γεγονὸς ἐξ ἀποστήματος ἐπιγνοὺς, αὖθις ἀπολύεται μετ' ἀσφαλείας· ὁ δὲ προειρημένος, τυχὸν προλαβὼν

τὸν

(α') Οὐκ ἄλλως ὁ Κλεομένης, ὁ Σπαρτιάτης, κρατεῖν Μεγαλοπόλεως επιχειρήσας διὰ δωροδόκων, καὶ συνθέμενος

ex ipsa experientia, alia ex historia. Ac quae ex usu, peritiaque comparatur, scientia Mathesi, ac Theorematis eget, & iis maxime, quae ex Astrologia, & Geometria sumuntur: quorum sane cognitio, quantum ad hunc usum spectat, minime operosa est, permagnus vero fructus inde percipitur, & ad eas, quas dixi, varietates temporum noscendas confert plurimũ. Cuius quidem scientiae necessitas in notandis perpetuis dierum, ac noctium vicissitudinibus maxime versatur. Etenim si æquas illas, & pares semper esse contingeret, nullius res esset negotii; magis vero scientia illa omnibus esset communis. Cum vero non solũ inter se mutuo, sed etiã a se ipsis differant, necesse omnino est illarum incrementa, ac decrementa, quae alterutra ex parte accidunt, cognoscere. Quo etenim modo sive diurnae, sive nocturnae profectionis, & itineris rationem quis inire possit, qui ipsarum discrimina non habeat mente comprehensa? Ac sane haud licet quopiam, sine eiusmodi peritia, ac scientia, tempestive pervenire; sed necesse omnino est (1), ut aliquando tardius,

(1) Haud secus Cleomenes Lacedaemonius cum Megalopolim in possessionem suam redigere conatus fuisset per

τὸν καιρὸν, ἐγγίσας, καὶ γνωρισθεὶς, οὐ μόνον ἀποτυγχάνει τῆς ἐπιβολῆς, ἀλλὰ καὶ κινδυνεύει τοῖς ὅλοις· κρατεῖ δ' ἐπὶ πάντων μὲν τῶν ἀνθρωπείων ὁ καιρὸς, μάλιστα δὲ τῶν πολεμικῶν. Διὸ προχείρως ἰστέον τῷ στρατηγῷ τροπὰς ἡλίου θερινὰς, ἔτι δὲ ἰσημερίας, καὶ τὰς μεταξὺ τούτων αὐξήσεις, καὶ μειώσεις ἡμερῶν, καὶ νυκτῶν. Οὕτω γὰρ ἂν μόνως δυνατὸν συμμετρεῖσθαι πρὸς λόγον τὰ διανύσματα καὶ κατὰ γῆν, καὶ κατὰ θάλατταν. Καὶ μὴν τοὺς κατὰ μέρος καιροὺς ἀναγκαῖον εἰδέναι, καὶ τοὺς τῆς ἡμέρας, καὶ τοὺς τῆς νυκτὸς πρὸς

τὸ

μενος νύκτωρ ἥξειν κατὰ τρίτην φυλακὴν, μήτε προνοήσας, ὅτι περὶ τὴν τῆς Πλειάδος ἀνατολὴν βραχυτάτας εἶναι συμβαίνει τὰς νύκτας· πρὸς δὲ καὶ βραδύνας δι' ὁδοῦ, ὥστε προσάψαι τῇ πόλει, ἡμέρας ἤδη γενομένης, ἐξέπεσε τῆς ἐπιβολῆς, καὶ πολλοὺς ἀποβαλὼν ἐκινδύνευσε τοῖς ὅλοις. Ὁμοίως ὁ Φίλιππος συνταξάμενος τοῖς προδόταις ἐπὶ Μελίτειαν προσελεύσεσθαι περὶ τὰς μέσας νύκτας, πρὸ τοῦ δέοντος καιροῦ ἐπελθὼν, ἔτι γρηγορούντων τῶν ἐν τῇ πόλει, ἄπρακτος ἠναγκάσθη ἀναζεῦξαι ἐκεῖθεν, ἀποτυχὼν τῆς πράξεως, πολλοὺς δ' ἀποβαλὼν τῶν ἰδίων· οἷς χρησάμενος παραδείγμασιν ὁ συγγραφεὺς ἀποδείκνυσι, πολὺ διαφέρειν τὸ ἰδεῖν τάς τε νυκτερινῶν, καὶ ἡμερησίων διαστημάτων κατὰ τὰς τοῦ ἐνιαυτοῦ ὥρας διαφορὰς, καὶ κατ' αὐτὰς τοῦ στοχεῖν τοῦ καιροῦ τῆς πράξεως.

dius, aliquando vero citius, quam opus eſt, rebus occurratur. Atque in hoc uno rerum genere peccatur magis, ſi quis condictam ad rem maturius venerit, quam ſi tardius. Qui enim condictum tempus, moras ducendo, tranſilierit, ſpe cadit tantummodo; adhuc autem diſsitus ſpatio aliquo, cum, quid actum fuerit, cognoverit, regreditur, a periculo tutus, ſecuruſque. Qui vero maturius, quam oporteat, venerit, agnitus, cum acceſſerit propius, non ſolum repellitur ab incaepto, ſed etiam de rerum ſumma iniquũ in diſcrimen coniicitur. Opportunitas autem temporis aptiſſima ad res omnes humanas eſt, inprimis autem ad bellicas. Quocirca

per hos, quos pecunia corruperet, conveniſſetque, noctu ſe circa tertiam vigiliam adfururum, nec illud providiſſet, quod noctes ad Pleiadis ortum arctiſſimae eſſe ſoleñt, quin & in itinere cunctatus fuiſſet, ut nonniſi orto iam ſole ad urbem adventaſſet, urbem expugnare non potuit, quin pluribus amiſſis in ſummum rerum omnium diſcrimen eſt adductus. Eodem modo Philippus, pactus item cum proditoribus, ſe Meliteam cum exercitu ad mediam noctem eſſe perventurum, adveniſſetque ante condictum tempus, cum cives adhuc erant vigiles, inde, re infecta, diſcedere coactus eſt, vel amiſſis ſuorum pluribus. Quibus exemplis docet Scriptor, plurimum intereſſe, ut noverit Imperator diſcrimina diurni, ac nocturni ſpatii iuxta diverſas anni tempeſtates, atque captet tempus opportunum ad res gerendas.

τὸ γινώσκειν, πηνίκα ποιητέον καὶ τὰς ἐγέρσεις, καὶ τὰς ἀναζυγάς. Οὐ γὰρ οἷόν τε τοῦ τέλους τυγχάνειν μὴ ἐκ τῆς ἀρχῆς εὐστοχήσοντα.

ιε' Ἱκανὰ καὶ τὰ παράδοξα γινόμενα τυγχάνειν προνοίας ἀκριβῶς, εἰς τὸ πολλὴν ἀπορίαν παρασκευάζειν, καὶ πολλάκις· οἷον ὄμβροι (ά), καὶ ποταμῶν ἐπιφοραί, καὶ πάγων ὑπερβολαί, καὶ χίονες· ἔτι δὲ ὁ καπνώδης, καὶ συννεφὴς ἀήρ, καὶ

(ά) Οὕτως ὁ Νίγρος, βασιλεὺς τῶν Ῥωμαίων ἀναδειχθεὶς, μὴ προειδὼς τὴν ἐπιφορὰν τῶν ὄμβρων, κρημνὸν δέ τινα βαθὺν, ὃς τοῖς ἐκ τῶν ὀρῶν ὕδασι συρρέουσι πόρος ἐγίγνετο (ὡς διηγεῖται Ἡρωδιανὸς βιβ. γ'. κεφ. γ') παραφράξας τειχισμῷ, τοῦ κωλῦσαι Σεβῆρον εἰσελάσαι μετὰ στρατοῦ πορρωτέρω, ἐν νυκτὶ δέ τινι τοῦ ὄμβρου πολλοῦ, καὶ πάνυ λάβρου καταρραγέντος, καὶ ἐκεῖθεν τοῦ χειμάρρου βιασαμένου τὸ τεῖχος, καὶ τὰς ἁρμογὰς διαλύσαντος διὰ τὸ αὐτοσχεδιάσθαι ἐκεῖνο, καὶ κατενεγκόντος τὸ ἐν ἐμποδὼν τῷ αὐτοῦ ῥεύματι, διεσφάλη τῶν ὅλων·

ca aestiva solstitia, & aequinoctia, quaeque his sunt interiecta dierum, ac noctium sive incrementa, sive decrementa Imperatori explorata esse debent. Ita enim solus per se queat itinerum intervalla, terra marique cōficienda, ad certam rationem revocare. Quāquam vel singula seorsim tempora, sive diurna, sive nocturna, necessario perspecta habere debet: ut sciat quando e somno surgendum sit, quando proficiscendum. Neque enim finem aliquis consequi potest, nisi in actionis principium recte collineaverit.

XV. Illa etiam, quae praeter expectationē, ac rerum consuetudinem solent contingere, singularem providentiam efflagitant, quippe quae magnam consilii inopiam afferant, cum evenerint, idque saepissime. Eiusmodi vero sunt eluviones (1) imbrium, & fluminum, gla-

(1) Ita Niger (qui salutatus fuerat Rom. Imp.), cum imbrium eluvionem minime providisset, ac quoddam praecipitium, per quod pluviae aquae delabebantur, e montibus defluentes, alto muro interiecto obstruxisset, (ut narrat Herodi. l.3. c. 3.) quo Severum, atque eius exercitum ab ingressu prohiberet: quadam vero nocte largus, ac vehemens imber decidisset, quo torrens auctus in oppositum murum impetum fecit, atque ipsum, (quod tumultuario opere fuerat constructus), dissolutis nexibus, facile disiecit, inde rebus suis penitus concidit.

καὶ τἆλλα τὰ παραπλήσια τούτοις· εἰ δὲ καὶ περὶ ὧν δυνατόν ἐστι προεἰδέσθαι, καὶ τούτων ὀλιγωρήσωμεν, πῶς οὐκ εἰκότως ἐν τοῖς πλείστοις ἀποτευξώμεθα;.. οὕτως αἱ πολεμικαὶ πράξεις ἐν μικρῷ τὸ διαφέρον ἔχουσι τῆς ἐφ᾽ ἑκάτερα ῥοπῆς τῶν ἐκβαινόντων.

ιϛ´ Ἐγὼ τὰ μὲν ἐκ περιττοῦ παρελκόμενα τοῖς ἐπιτηδεύμασιν, χάριν τῆς ἐν ἑκάστοις ἐπιφάσεως, καὶ στομυλίας, πολύ τι μᾶλλον ἀποδοκιμάζων, παραπλησίως δὲ καὶ τοῦ πορρωτέρου τοῦ πρὸς τὴν χρείαν ἀνήκοντος ἐπιτάττειν περὶ τἀναγκαῖα φιλοτιμότατός εἰμι, καὶ σπουδάζων. Καὶ γὰρ ἄτοπον ἐστὶν μὲν τῆς ὀρχηστικῆς, ἢ τῆς αὐλητικῆς

στων· ἀναγκασθεὶς ἀπαράσκευος συμβαλεῖν τοῖς πολεμίοις· οὓς ῥᾳδίως ἂν πάντας κωλύσειε τῆς εἰσόδου, ἰσχυρῶς αὐτῷ συνεργούσης τῆς φύσεως, ὀχυρώματι τῶν πέριξ τόπων. Ὁ δὲ Τιβέριος διὰ τὸ συμμῖξαι τῷ Ἀννίβᾳ ἐν ἡμέρᾳ νιφετώδει, καὶ τοῦτο τῶν στρατιωτῶν ἔτι ἀναρίστων πως ὄντων, ἡττήθη ὁλόκληρον ἧτταν· ὡσαύτως ὁ Φλαμίνιος, ἕτερος τῶν Ῥωμαίων στρατηγός, παραταξάμενος πρὸς τοὺς πολεμίους, ἐν ἡμέρᾳ διαφερόντως ὁμιχλώδει, ἐνέδραις ἐνέπεσε, δυσευνόπτοις διὰ τὴν τοῦ ἀέρος περίστασιν ὑπαρχούσαις, καὶ ἐξώλης ἐγένετο μετὰ τῶν περὶ αὐτόν. Τοιγαροῦν παραινεῖ ὁ Συγγραφεύς, μεταβολὰς τοῦ οὐρανοῦ τοιαύτας, καὶ ἐπιφορὰς τῶν ὄμβρων, καὶ νιφάδων, ἔτι δὲ τὸν συννεφῆ ἀέρα, ὅσον ἐφ᾽ ἑαυτῷ, προϊδεῖν τὸν ἡγεμόνα· ὧν παρημελημένων κινδυνεύει πολλάκις τὰ ὅλα.

glaciei copia ingens, atque nives; praeterea caliginosus, obnubilusque aer, & id genus alia. Quod si haec etiam, quae provideri possunt, neglexerimus, quid ni pluribus in rebus a proposita spe merito aberremus? Ita magnum saepe momentum bellicas ad res in utramque partem ex parva inclinatione accedit.

XVI. Equidem, cum illa improbem, quae supervacaneo ornatu, & ambitu ad informāda hominum studia referuntur, ad quamdam ostentationem, ac festivitatem composita, idem ipse sollicitam in eo operam pono, ut in dandis de rebus necessariis praeceptis plus etiam verser, quam praesens usus requirere videatur. Perversum enim, & absurdum est,

dit. Coactus enim est, imparatus congredi cum hoste, quem facili negotio, natura maxime adiutus, ob munitissima loca, ab illo aditu prohibuisset. Tiberius autem, quod nivoso, ac frigido die cum Annibale signa contulisset, idque impransis adhuc militibus, gravissimam cladem accepit. Item alius Rom. dux, Flaminius, cum die maxime caliginoso, instructam aciem movisset adversus hostes, incidit in insidias, quae ob caeli intemperiem dispici non poterant, ac victus plane, prostratusque est. Quocirca Polybius admonet, eiusmodi caeli conversiones, sive imbrium copiam, sive nivium, sive caliginosum, & obnubilum caelum, quantum in ipso est, imperator ut provideat: quibus neglectis rerum summa iniquum in discrimen coniicitur.

τικῆς ἐφιεμένους ἐπιδέχεσθαι τήν τε περὶ ῥυθμοὺς, καὶ τὰ μουσικὰ παρακατασκευήν· ἔτι δὲ τὰ περὶ τὴν παλαίστραν, διὰ τὸ δοκεῖν προσδεῖσθαι τὸ τέλος ἑκατέρου τῆς τῶν προειρημένων συνεργίας· τῶν δὲ στρατηγίας ἀντιποιουμένους ἀγάλλειν, εἰ δεήσει τῶν ἐκτὸς ἐπιτηδευμάτων μέχρι τινὸς ἀναλαβεῖν· ὥστε τῶν μὲν περὶ βαναύσους τέχνας ἀσκοῦντας ἐμμελεστάτους εἶναι, καὶ φιλοτιμοτέρους τῶν περὶ τὰ κάλλιστα, καὶ σεμνότατα προειρημένων διαφέρειν.

ιζ' Νομίζουσί τινες ὡσανεὶ θειοτέρους εἶναι, καὶ θαυμαστοτέρους τῶν τοιούτους ἄνδρας (τῶν παραλόγως, καὶ ἐκ ταυτομάτου κατορθοῦντας ἐπιβολὰς) τῶν κατὰ λόγον ἐν ἑκάστοις πραττόντων· ἀγνοοῦντες, διὸ τὸ μὲν ἐπαινετὸν, τὸ δὲ μακαριστὸν εἶναι συμβαίνει τῶν προειρημένων, καὶ τὸ μὲν κοινόν ἐστι καὶ τοῖς τυχοῦσι· τὸ δὲ ἐπαινετὸν, μόνον ἴδιον ὑπάρχει τῶν εὐλογίστων, καὶ φρένας ἐχόντων ἀνδρῶν. Οὓς καὶ θειοτάτους εἶναι, καὶ προσφιλεστάτους τοῖς θεοῖς νομιστέον. Βιβ. ι

ιη' Οὐ στρατιωτικῆς ἐξουσίας, ἀλλ' ἡγεμονικῆς ἐμπειρίας, ἅμα δὲ καὶ δυνάμεως δεῖγμα δεῖ

φέρειν

eos, qui scientiam student sibi comparare aut saltandi, aut tibiis canendi, rythmorum, ac Musices rudimenta excipere; quin vel palestrae curriculum non aspernari, quod propositus sibi artis utriusque finis videatur illarum disciplinarum subsidium desiderare, eos vero, qui Imperatoris sibi munus, ac scientiam vindicant, si opus fuerit extraneas disciplinas aliquas ulla ex parte addiscere, stomachari; ut hi, qui vulgares, ac vilissimas artes exercent, diligentiores interdum, & laudis appetentiores sint, quam qui cupiunt gravissimis, ac praeclarissimis in rebus excellere.

XVII. Nonnulli tales viros (qui scilicet ex inconsulto, ac temerario animi impetu rem praeclare gerunt) diviniores quodammodo, & admirabiliores putãt, quam qui singula ratione, & consilio exequuntur. Qua in re illud ignorant, alterum laudi vertendum esse, alterum felicitati: ac primũ illud vulgaribus quibuscunque hominibus commune est; istud vero, quod solum est laudabile, prudentium tantummodo, & consilio praestantium virorum proprium debet iudicari: quos divinos inprimis, atque diis charissimos existimare oportet.

XVIII. Imperator non militaris potestatis, & imperii, sed illius scientiae, ac peritiae

φέρειν τὸν ὕπαρχον (α') ἐν ταῖς ἐξοπλασίαις· ποτὲ μὲν ἐν πρώτοις, ποτὲ δ' ἐν ἐσχάτοις, ποτὲ δὲ κατὰ μέσους γιγνόμενον.

ιθ' Ὅταν οἱ μὲν ἡμίσεις τράπωνται πρὸς τὰς ἁρπαγὰς, οἱ δὲ ἡμίσεις διαφυλάττοντες τὰς τάξεις, ἐφεδρεύωσι τούτοις, οὐδέποτε συμβαίνει κίνδυνος Ῥωμαίοις περὶ τὰ ὅλα διὰ πλεονεξίαν. Τῆς γὰρ ἐλπίδος τῆς κατὰ τὴν ὠφέλειαν οὐκ ἀπιστουμένης ἀλλήλοις, ἀλλ' ἐπὶ τῆς ἴσης ἑστηκυίας τοῖς μένουσι κατὰ τὰς ἐφεδρείας, καὶ τοῖς διαρπάζουσιν, οὐδεὶς ἀπολείπει τὰς τάξεις. Ὃ μάλιστα τοὺς ἄλλους εἴωθε βλάπτειν· ἐπειδὴ γὰρ οἱ πλεῖστοι τῶν ἀνθρώπων κακοπαθοῦσι, καὶ κινδυνεύου-

(α') Ὁ Πολύβιος ὧδ' ἐπιτιμᾷ τῶν ἡγεμόνων τοῖς νομίζουσι, τὴν πρώτην ἐν τοῖς στρατοπέδοις χώραν ἡγεμονικὴν εἶναι, καὶ διὰ τοῦτο προηγουμένοις ἄλλων· ἐν ἐπισφαλέστατον ἁπάντων, καὶ ἀπειρότατον, χώρας ταύτης, καὶ τάξεος λαχεῖν τὸν ἄρχοντα, ὁρώμενον μὲν ὑπὸ πάντων τῶν ὑποτεταγμένων· αὐτὸν δὲ μηδένα πως ἐρῶντα· ἐφ' ᾧ Πόπλιον Σκιπίωνα εἰκότως ἐγκωμιάζει ,, πα-
,, ριππεύοντα τοῖς στρατιώταις, καὶ ἐφορῶντα πάντας,
,, καὶ διασαφοῦντα αὐτοῖς ἀποροῦσι, καὶ διορθοῦντα ἐν ἀρ-
,, χαῖς πᾶν τὸ διαμαρτανόμενον ,,. Ὡσαύτως Κῦρος παρὰ Ξενοφῶντι Κυρ. παιδ. ε', ὡς ἦγε τὸ στράτευμα ,, οὐ μέντοι
,, αὐτός γε μιᾷ χώρᾳ ἐχρῆτο, ἀλλ' ἄλλοτε ἄλλῃ, διὰ μαχης,
,, περιελαύνων ἐφεώρα τε, καὶ ἐπεμελεῖτο, εἴ τι δέοιντο.

exemplum in acie praeseferre debet, qua duces praeditos esse oportet, modo in primo agmine (1), modo in extremo, aut medio consistendo.

XIX. Quò tempore media pars exercitus ad praedandum convertitur, media vero suū locum, & ordinem tuetur, ut illis sit praesidio, hoc, inquam, tempore Romani numquā in extrema discrimina veniunt propter avaritiam. Nam cùm neutri sibi mutuo diffidant, ac emolumenti spes aequo modo se habeat & erga eos, qui manent in praesidiis, & eos, qui praedantur, nemo ordines deserit: quod alios in primis laedere consuevit. Etenim cum plerique hominum, lucri causa, mole-

(1) Polybius reprehendit hoc loco illos duces, qui putabant, primum in exercitibus locum Imperatori convenire; ac propterea praeibant caeteris; cum omnium periculosissimum, ac plenum imperitiae sit, ut ipse affirmat, ei, qui praeest exercitui, talem locum obtingere, in quo ab omnibus suis cernatur, ipse vero neminem cernat. Qua in re laudat Historicus P. Scipionem: *qui militibus obequitabat, & inspectabat omnes: ac si qua in re dubii haesissent, quid esset illud, ostendebat, confestimque, si quid peccatum fuerat, emendabat*. Pari modo Cyrus apud Xenophontem l. 5. Cyrop., cum exercitum ducebat: *non uno semper, & eodem utebatur loco, sed alio alias; ac, cum exarserat pugna, circumiens inspiciebat, & si qua re egerent milites, diligentissime suppeditabat*.

νεύουσι τοῦ κέρδους ἕνεκεν, φανερὸν, ὡς ὅτι καιρὸς οὗτος ὑποπέσῃ, δυσχερῶς εἰκὸς ἀπέχεσθαι τῶν ἐν ταῖς ἐφεδρείαις, ἢ στρατοπεδείαις ἀπολειπομένους· διὰ τὸ παρὰ τοῖς πλείστοις πᾶν τὸ ληφθὲν εἶναι τοῦ κυριεύοντος. Καὶ γὰρ ἂν ὅλως Μόναρχος, ἢ στρατηγὸς ἐπιμελῶς ἀναφέρειν εἰς τὸ κοινὸν ἐπιτάξῃ τὰς ὠφελείας, ὅμως τὰ δυνατὰ κρύπτεσθαι, πάντες ἴδια νομίζουσι· διὰ δὲ τὸ τῶν πολλῶν ὁρμώντων ἐπὶ τοῦτο τὸ μέρος, οὐ δυνάμενοι κρατεῖν, κινδυνεύουσι τοῖς ὅλοις. Καὶ πολλοὶ δή τινες κατορθώσαντες τὰς ἐπιβολὰς, καὶ ποτὲ μὲν ἐπιπεσόντες ταῖς τῶν πολεμίων παρεμβολαῖς, ποτὲ δὲ καταλαβόμενοι τὰς πόλεις, οὐ μόνον ἐξέπεσον, ἀλλὰ καὶ τοῖς ὅλοις ἐσφάλησαν παρ' οὐδὲν, ἢ τὴν προειρημένην αἰτίαν (α'). Διὸ δεῖ περὶ μη-

δὲν

(α') Διὰ τὴν αὐτὴν αἰτίαν ὁ Βροῦτος παρὰ Φιλίπποις, ἐν ᾗ πρῶτον μάχῃ συνέμιξε τῷ Ἀντωνίῳ, ὁλοκλήρου ἀπεσφάλη νίκης, διὰ τὸ τοὺς στρατιώτας ἀπολιπόντας τὴν τάξιν, ἄλλον ἄλλοσε πρὸς τὰς ἁρπαγὰς τετράφθαι. Ὁ δὲ Κῦρος μέλλων χεῖρας συμβαλεῖν τοῖς Ἀσσυρίοις, τάδ' ἐπιτάσσει τοῖς αὐτοῦ στρατιώταις, πάνυ σύμφωνα τοῖς προειρημένοις Πολυβίῳ· „ ἵνα μὴ δὴ, τὸ πολλοῖς „ δὴ συμβεβηκὸς, κρατοῦσι τὴν τύχην ἀνατρέψαι γίγνη„ ται, φυλάξασθαι δεῖ τὸ ἐφ' ἁρπαγὴν τρέπεσθαι· ὡς „ ὁ τοῦτο ποιῶν οὐκέτι ἀνήρ ἐστιν, ἀλλὰ σκευοφόρος, „ καὶ ἔξεστι τῷ βουλομένῳ ἤδη χρῆσθαι τούτῳ, ὡς ἀνδρα„ πόδῳ. Ἐκεῖνο δὲ χρὴ γνῶναι, ὅτι οὐδέν ἐστι κερδα„ λεώτερον τοῦ νικᾶν· ὁ γὰρ κρατῶν, ἅμα πάντα συνήρπασε

ſtias perferant, atque pericula adeant, ecquis non intelligat, cum eiuſmodi tempus inciderit, fore, ut aegre ſe temperent, qui in praeſidiis, aut caſtris relinquuntur ? cum praeda apud pleroſque eius fiat, qui potitus ea fuerit. Etſi enim Rex, aut Imperator indixerit, emolumenta in commune diligenter eſſe conferenda, ſinguli tamen haec, quae facile occuli poſſunt, ſua propria eſſe arbitrantur. Quocirca ob numerum illorum, ac multitudinem, qui ad praedandum rapiuntur, cum duces nequeant eoſdem continere, in graviſſima de rerum ſumma diſcrimina adducuntur. Ac plures iam, cum praelio viciſſent, & aliquando irrupiſſent in hoſtiū caſtra (1), aut

(1) Ob eamdem cauſam Brutus in ea pugna, qua primum apud Philippos adverſus Antonium decertavit, integram victoriam referre non potuit, quod milites ad praedandum verſi aciem deſeruiſſent, alii alio vagantes. Cyrus vero apud Xenophontem, cum in eo eſſet, ut cum Aſſyriis confligeret, haec ſuis militibus praecipit, illis, quae ex Polybio retulimus, plane conſentanea : *ne, inquit, illud nobis contingat, quod iam accidit pluribus, ut nimirum partam victoriam amitterent, eſt providendum. Id autem eſt, ne ad praedandum vos convertatis : cum is, qui hoc agit, non amplius vir ſit, ſed lixa, & calo : ac iam liceat cuique tali homine, tamquam mancipio, abuti. Illud autem vobis perſuaſum eſſe debet, nibil utilius eſſe, quam vincere. Qui enim vicerit,*

δὲν οὕτω σπουδάζειν, καὶ προνοεῖσθαι τοὺς ἡγουμένους, ὡς περὶ τοῦτο τὸ μέρος· ἵνα, καθόσον ἐστὶ δυνατὸν, ὑπάρχῃ παρὰ τοῖς πολλοῖς ἐλπὶς, ὡς ἐξ ἴσου πᾶσι τῆς ὠφελείας οὔσης, ἐάν τις ὑποπίπτῃ τοιοῦτος καιρός.

κ' Δημήτριος ὁ Φαλερεὺς εἶπε. διὸ καθάπερ ἐν οἰκοδομίαις, ἐὰν κατὰ μίαν πλινθευθῇ, καὶ καθ' ἕνα δεσμὸν, ἐπιμελείας τύχῃ τὸ παράφραγμον, οὕτως ἐν τῷ στρατοπέδῳ τὸ κατ' ἄνδρα, καὶ κατὰ λόχον ἀκριβωθὲν ποιεῖ τὴν δύναμιν ἰσχυρὰν (α').

κα' Κα-

„ πασε καὶ τοὺς ἄνδρας, καὶ τὰς γυναῖκας, καὶ τὰ χρήμα-
„ τα, καὶ πᾶσαν ἅμα τὴν χώραν· πρὸς ταῦτα τοῦτο
„ μόνον ὁρᾶτε, ὅπως τὴν νίκην διασώσωμεν . . . ἐὰν γὰρ
„ κρατηθῇ, καὶ αὐτὸς ὁ ἁρπάζων ἔχεται„. Κυρ. παιδ. δ'

(α') Παραπλησίως καὶ ὁ Ξενοφῶν γράφει περὶ Κύρου, ὅτι
„ τὸ ἀκριβοῦν τὰς τάξεις σφόδρα ἐδόκει αὐτῷ ἀγαθὸν
„ εἶναι καὶ εἰς τὸ μὴ ταράττεσθαι, καὶ εἰς τὸ, εἰ ταρα-
„ χθεῖεν, θᾶττον καταστῆναι· ὥσπερ γὰρ καὶ λίθων, καὶ
„ ξύλων ἃ ἂν δέῃ συναρμοσθῆναι, ἔστι, κἂν ὁπωσοῦν
„ κα-

aut urbes expugnassent, non solum inde exciderunt, sed etiam penitus victi, profligatique sunt, ob illam causam, quam diximus. Quamobrem de nulla re magis Imperatores sollicitos esse oportet, ac omnem adhibere providentiam, quam ut haec insit spes multitudini, fructum, & utilitatem, cum inciderit eiusmodi tempus aliquod, aeque ad omnes esse perventuram.

XX Demetrius Phalereus solebat dicere, quemadmodum in aedificiis, si uno nexu, atque coniunctione singuli lateres colligati fuerint, magnam, quae disrupta erant, firmitatem adipiscuntur, pari modo in exercitu si accurate viri singuli, & ordines locati, ac dispositi fuerint, id solere inprimis ad totius exercitus firmitatem, ac robur conducere (1).

XXI. Quem-

cerit, is praedatus universa est, & viros, & mulieres, & opes, & omnem una regionem. Quocirca hoc unum spectetis velim, ut victoriam salvam, & integram tueamur . . . si enim hanc tenuerimus, vel is, qui praedam agit, una tenebitur. Cyrop. l. IV.

(1) Similiter & Xenophon scribit de Cyro: *quod utilissimum, & optimum eidem esse videbatur, ordines accurate componere, cum ad eum finem, ne perturbarentur, tum ut, si fuissent perturbati, locum suum, & ordinem celerius recuperarent. Namque & lapides, ac ligna, quae*

κά Καθάπερ ἐν ταῖς κυνηγεσίαις τὰ ζῶα τότε διάδηλα γίγνεται κατὰ τὴν ἀλκὴν, καὶ τὴν δύναμιν, ὅταν τὸ δεινὸν αὐτὰ περιστῇ πανταχόθεν, τὸν αὐτὸν τρόπον συμβαίνει (α') καὶ περὶ τῶν ἡγεμόνων.

κβ' Ὅτι καιρὸς ἐν πᾶσι μεγάλην ἔχει μερίδα πρὸς τὰς ἐπιβολὰς, μεγίστην δ' ἐν τοῖς πολεμικοῖς, παντὶ δῆλον.

κγ' Τῶν κατὰ μέρος κινδύνων, οἷς μὴ συμπάσχει τὰ ὅλα, πλεῖστον ἀπέχειν δεῖ τὸν ἡγούμενον (β')

τί

„ καταβεβλημμένα τύχῃ, συναρμόσαι ταῦτα εὐπετὲς, ἢν
„ ἔχῃ γνωρίσματα, ὥστ' εὔδηλον εἶναι, ἐξ ὁποίας χώ-
„ ρας ἕκαστον αὐτῶν ἐστί „. Κυρ. παιδ. β'

(α') Περὶ Φιλίππου, Μακεδόνων βασιλέως, ὁ λόγος, ὃς, ἐπικρεμαμένων αὐτῷ πανταχόθεν πραγμάτων, καὶ κινδύνων, ὅμως ἀσάλευτος, καὶ ἀτάραχος τὴν διάνοιαν, παρεσκεύαζε τὰ ἐπιτήδεια, καὶ εἷς ὢν, προυνόει δὴ πάντων· μήτε μεγέθει, μήτε πλήθει τῶν ἐπειγομένων ἐκπλαγεὶς, ἢ ἐνοχλούμενος· ὡς δὲ τὰ γενναῖα τῶν θηρίων, πρὸς τοὺς ἀντιπάλους κατ' ἀλκὴν τῆς ψυχῆς, καὶ τὸ φρόνημα ὑπερφυῶς ἀνθιστάμενος.

(β') Βουλόμενοι οἱ τῶν Ῥωμαίων ὕπατοι, ὧν εἷς ἦν Κλαύδιος ὁ Μάρκελλος, σαφῶς κατανοῆσαι τὰ μέρη τοῦ πλησίον κειμένου ὄρους τινὰ, ἢ πως οἱ Καρχηδόνιοι στρατοπεδεύσαντες ἐτύγχανον, τῶν Νομάδων ἐνέδραις περιπεσόντες αὐτοὶ δὴ, καὶ οἱ περὶ αὐτοὺς ἅμα ἀπέθανον· οἱ μὲν τετρωμένοι ὑπὸ τῶν Νομάδων, οἱ δὲ κατακρημνι-

ζό-

XXI. Quemadmodum in venationibus belluae tunc maxime vim suam, ac robur ostendunt, cum periculo undique obsessae fuerint, ac circumclusae, hoc etiam (1) in summis ducibus usuvenire consuevit.

XXII. Temporis opportunitatem magno esse adiumento, ac plurimum momenti afferre ad aggrediendas, atque perficiendas res, idque maxime in bellicis, nemo est, qui ignorare possit.

XXIII. Ab iis discriminibus (2), in quibus pars solummodo rerum aliqua laborat, Imperator

quae una coagmentanda sint, quamvis illa quoquo modo iaceant proiecta, facile componuntur, si habeant certa signa, quibus possint dignosci, ad quem singula locum, & ordinem pertineant.

(1) De Philippo sermo est, Macedonum Rege, cui cum pericula, & negotia undique impenderent, firma nihilominus, tranquillaque mente instruebat apparatus necessarios, rebusque omnibus unus consulebat; nec numero, nec magnitudine eorum, quibus premebatur, de mentis consilio deiectus, atque suis adversariis, ut generosae belluae solent, resistens incredibili animi sententia, ac robore.

(2) Cum Rom. Consules, quorum unus erat Claudius Marcellus, quasdam propinqui montis partes speculari vellent, ac perspicere, qua ex parte Carthaginenses castra sua posita habebant, in Numidas, qui in insidiis sedebant, incidere: a quibus oppressi ipsi, & ii, quos secum habebant, una perierunt: alii vulneribus confossi,

τί δὲ; ἀγνοοῦμεν, διὸ κἂν ποτε ἀναγκάζωσιν οἱ καιροὶ πράττειν τί τῶν κατὰ μέρος, πολλοὺς δεῖ πρότερον ἀποθανεῖν τῶν συνόντων, πρὶν ἢ τὸ δεινὸν ἐγγίσαι τοῖς προεστῶσι; δεῖ γὰρ ἐν Ἀκαρεῖ τὴν πεῖραν, ὡς ἡ παροιμία φησὶν, οὐκ ἐν τῷ στρατηγῷ γίγνεσθαι. Τὸ μὲν γὰρ λέγειν, ὡς οὐκ ἂν ᾠόμην· τίς γὰρ ἂν ἤλπισε τοῦτο γενέσθαι; μέγιστον εἶναί μοι δοκεῖ σημεῖον ἀπειρίας στρατηγικῆς, καὶ βραδυτῆτος.

καὶ ἐν Ἀκεραίου, καὶ σωζομένου τοῦ προεστῶτος, κἂν

ζόμενοι διὰ φυγῆς· ἀβούλως ἦγον, καὶ ἀφρόνως σφᾶς προβιβάσαντες εἰς τὸν κατὰ μέρος κίνδυνον· Οὐκοῦν ὁ Συγγραφεὺς συμβουλεύει, τῶν τοιούτων κινδύνων, ἐν οἷς μὴ συμπάσχει τὰ ὅλα, ὡς οἷόν τε, ἀπέχεσθαι τοὺς ἡγεμόνας· ὧν δὴ ζωὴ, καὶ εὐτυχία τῶν δι' ὅλου στρατοῦ πραγμάτων ἀκμὴν, καὶ σωτηρίαν περιέχει· ὡσανεὶ παραινῶν, τοὺς αὐτῶν βίους εἰς ἐκείνους τῶν καιρῶν ταμιεύεσθαι, ἐν οἷς που τὸ κοινὸν εἰς μέγιστον κίνδυνον περιέστη· μήτε πως Μάρκελλον ἐκμιμεῖσθαι, ὃς ἀκακώτερον, ἢ στρατηγικώτερον ἐκείνην ὑπέδυ περίστασιν. Ὅθεν καὶ ὁ Ἀππιανὸς Ἀλεξ. ἱστορεῖ, ὅτι Ἀννίβας ἐπιστὰς τῷ τοῦ Μαρκέλλου σώματι „ ὡς εἶδε τὰ τραύματα ἐπὶ στέρ„ νων, ἐπήνεσε μὲν ὡς στρατιώτην, ἐπέσκωψε δὲ, ὡς „ στρατηγόν „. Πολύβιος δὲ ἐγκωμιάζει τὸν Ἀννίβαν· ὃς πολλοὺς, καὶ παντοδαποὺς χειρισάμενος πολέμους, τοὺς μὲν ἐχθροὺς ἔσφηλε πολλάκις, αὐτὸς δὲ μηδέποτε ἐσφάλη τραυματιζόμενος, ἢ τί ἄλλο παθὼν τῶν δεινῶν· τὴν προσήκουσαν δηλονότι περὶ τῆς αὐτοῦ σωτηρίας πρόνοιαν, καὶ ἐπιμέλειαν ποιησάμενος.

rator longe abesse debet. Quid vero? an illud forte ignoramus, quamvis tempora coegerint eiusmodi rebus ex parte gerēdis interesse duces, multos antea occumbere oportere, quam ad summos Imperatores calamitas accedat? Namque, ut fert adagium, in vilissimo quoque periculum faciendum est, non in illo, qui exercitū ducit. Illud quippe dicere: *non putabam: ecquis id unquam casurum credidisset?* maximum mihi esse videtur imperatoriae tarditatis, & imperitiae indicium.

XXIV. Cum ille, qui praeest, integer, ac sospes

---

si, alii per rupes acti praecipites, cum inconsulto corpora sua, atque vitas in illud discrimen, in quo de rerum summa non decernebatur, coniecissent. Ab eiusmodi igitur periculis, in quibus de summa salute non agitur, monet Scriptor, abesse duces oportere: quorum incolumitate totius exercitus utilitas, ac integritas continetur. Suadet quippe ad ea magis tempora vitas suas reservare, quibus totius Reip. salus in discrimen adducitur, nec imitari Marcellum, qui magis animi simplicitate, quam imperatoria virtute illam subiit calamitatem. Quocirca & Appianus narrat, quod cum Annibal ad Marcelli corpus adstitisset, ac vidisset adversa vulnera, *illum quidem laudavit ut militem, est vero cavillatus ut ducem*. Hinc Polybius summis laudibus effert Annibalem, quod cum plura, ac varia bella gessisset, hostes quidem saepe prostravit, ac vicit; ipse vero nunquam ab illis suo in corpore laesus est: quippe qui in vita sua conservanda, ac tuenda debitam diligentiam, curamque impenderet.

κἂν ποτὲ πέσῃ τὰ ὅλα, πολλὰς ἀφορμὰς ἡ τύχη δίδωσι πρὸς τὸ πάλιν ἀνακτήσασθαι τὰς ἐκ τῶν περιπετειῶν ἐλαττώσεις. Πταίσαντος δὲ, καθάπερ ἐν νηῒ τοῦ κυβερνήτου, κἂν τὸ νικᾷν ἡ τύχη τοῖς πολλοῖς παραδιδῷ, καὶ κρατεῖν τῶν ἐχθρῶν, οὐδὲν ὄφελος (α') γίγνεται διὰ τὸ πάσας ἐξηρτῆσθαι τὰς ἐλπίδας ἑκάστοις ἐκ τῶν ἡγουμένων.

κέ Μεγάλου ὄντος τοῦ κατορθοῦν τοῖς πράγμασι, καὶ περιγίγνεσθαι τῶν ἐχθρῶν ἐν ταῖς ἐπιβολαῖς, πολλῷ μείζονος ἐμπειρίας προσδεῖται, καὶ φυλακῆς τὸ καλῶς χρήσασθαι τοῖς κατορθώμασι· διὸ καὶ πολλαπλασίους ἂν εὕροι τις ἐπὶ τῶν προτερημάτων γεγονότας, τῶν καλῶς τοῖς προτερήμασι κεχρημένων (β').

κς' Τοὺς

(α') Οὐκ ἄλλως Κῦρος ὁ νεώτερος (ὡς ἱστορεῖ Ξενοφῶν ἀναβάσ. β') ἀθλίως ἐλθὼν εἰς κίνδυνον, ἐν τῇ πρώτῃ τάξει συμμίξας τοῖς ἐχθροῖς, καὶ διαφθαρεὶς, καίπερ τοῦ λοιποῦ στρατοῦ κρατήσαντος λαμπρῶς τῶν πολεμίων, πάντη ὤλεσε τὰ πράγματα.

(β') Ὡσαύτως Κῦρος παρὰ Ξενοφῶντι Κυροπαιδ. ζ', ἐπεὶ νικήσας μάχαις τοὺς ὑπεναντίους, τῆς ἐν Βαβυλῶνι ἀρχῆς πάντως ἐπεκράτησε, πρὸς τοὺς περὶ αὐτὸν τάδε λέγει „ μέγα, οἶμαι, ἔργον καὶ τὸ ἀρχὴν καταπράξαι· „ πολὺ δ' ἔτι μεῖζον τὸ λαβόντα περισώσασθαι· τὸ „ μὲν γὰρ λαβεῖν, πολλάκις τῷ τολμᾷν μόνον παρασχο- „ μένῳ ἐγένετο· τὸ δὲ λαβόντα κατέχειν, οὐκ ἔτι τοῦ- „ το ἄνευ πολλῆς ἐπιμελείας γίγνεται· ἃ χρὴ γιγνώ- „ σκοντας νῦν πολὺ μᾶλλον ἀσκεῖν τὴν ἀρετὴν, ἢ πρὶν „ τάδε

ſpes fuerit, etſi rerum ſumma labefactata conciderit, fortuna tamen multas praeſtat opportunitates ad incommoda, offenſioneſque belli reſarciendas. Cum vero ipſe, tamquam in navi gubernator, offenderit, etſi multitudini de hoſtibus victoriam ſors tribuerit, nihil illa prodeſſe poteſt (1), quod omnes omnium ſpes pendeant e ducibus.

XXV. Cum permagnum ſit, rem feliciter gerere, atque hoſtes in conflictibus ſuperare, multo maiore peritia, & animadverſione ad id opus eſt, quo quis ipſa victoria bene utatur. Quocirca multo plures reperiri poſſunt (2), qui primas victorias adepti ſint, quam qui iſtis uſi recte fuerint.

K XXVI. Vi-

(1) Ita Cyrus Iunior (ut narrat Xenophon Cyr. exped. l. 2.), cum inconſulto vitam ſuam in periculum provexiſſet, in prima acie depugnans, oppreſſuſque ab hoſtibus interiiſſet, quamvis victore reliquo exercitu, & ſe, & ſuos funditus perdidit.

(2) Haud ſecus Cyrus apud Xenophontem Cyrop. l. 7., poſtquam Babilonico Imperio, hoſtibus ſuperatis, potitus eſt, haec ad ſuos loquitur: *Magni operis eſſe arbitror, regnum ſibi quemquam comparare: maioris vero adhuc laboris, & operis, illud iam partum conſervare. Saepe enim, cum ſe quiſpiam audacem, ac ſtrenuum praeſtitiſſet, regnum eſt adeptus: adeptus vero conſervare ſine prudentia, ac temperantia, rurſuſque ſine multa diligentia nemo poteſt. Quae ſane conſiderantes, multo nunc*

κϛʹ Τοὺς πλείστους ἰδεῖν ἐστι τῶν στρατηγῶν, καὶ τῶν βασιλέων, ἐπειδὰν συνιστῶνται τοὺς ὑπὲρ τῶν ὅλων ἀγῶνας, τὰ μὲν ἐκ τῶν κατορθωμάτων ἔνδοξα, καὶ λυσιτελῆ συνεχῶς λαμβάνοντας ὑπὸ τὴν ὄψιν, καὶ πολλάκις ἐφιστάνοντας, καὶ διαλογιζομένους, πῶς ἑκάστοις χρήσονται κατὰ λόγον· ταῖς φρεσὶ χωρησάντων τῶν πραγμάτων· τὰ δὲ ἐκ τῶν ἀποπτωμάτων οὐκέτι πρὸ ὀφθαλμῶν τιθεμένους, οὐδ' ἐν νῷ λαμβάνοντας, πῆ, καὶ τί πρακτέον ἑκάστοις ἐστὶ κατὰ τὰς περιπετείας· καίτοι τὸ μὲν ἕτοιμόν ἐστι· τὸ δὲ πολλῆς δεῖται προνοίας. Τοιγαροῦν οἱ πλεῖστοι διὰ τὴν αὐτῶν ἀγένειαν, καὶ τὴν ἐν τούτοις ἀβουλίαν (αʹ), αἰσχρῶς ἐποιή-

---

„ τάδε τἀγαθὰ κλύσασθαι· οὐκ εἰδότας, ὅτι ὅταν πλεῖστά „ τις ἔχῃ, τότε πλεῖστοι καὶ φθονοῦσι, καὶ ἐπιβουλεύουσι, καὶ „ πολέμιοι γίγνονται„. Λόγος δὲ τῷ Πολυβίῳ περὶ τῶν Καρχηδονίων, νίκαις μὲν καταδουλωσάντων τὴν Ἰβηρίαν, ταῖς δὲ εἰς τοὺς ὑποτεταγμένους λαοὺς ὕβρεσιν ἀποβαλόντων. Ὅθεν λέγει δὴ πλείους κατορθῶσαι διὰ τῆς πρώτης νίκης τὰ πράγματα, τῶν εὖ μέχρι τοῦ τέλους χρησαμένων τοῖς προτερήμασιν· ὡς μεῖζον ὄν, καὶ χαλεπώτερον τοῦ νικῆσαι, τὸ εἰς τὸν ἐπίλοιπον χρόνον συνεχῶς οἰκονομεῖν τὴν νίκην.

(αʹ) Ὡσαύτως οἱ περὶ Πομπήιον, πρὸ τῆς Φαρσαλικῆς μάχης, πολλὰ δὲ περὶ νίκης, ἣν ἀσφαλῶς ὑπισχνοῦ-

XXVI. Videre eſt plurimos Imperatores, atque Reges, cum de rerum ſumma decertare decreverint, gloriam & fructum, quem ſibi pollicentur ex ſecundo praelii exitu ante oculos aſſidue propoſitum habere; ad idque conſilia ſua, & rationes ſaepius referre, quonam modo rebus ſingulis recte utantur, cum hae ex animi ſententia proceſſerint: eoſdē vero clades illas, quae belli offenſiones conſequi ſolent, non iam ante oculos ſibi ponere, nec mente concipere, quid, quaque ratione praeſtandum ſingulis ſit, cum inciderit calamitas: praeſertim cum illud primum per ſe in promptu ſit, hoc vero multa egeat providentia, & conſilio. Quamobrem (1) plurimi

K 2 iam,

---

nunc magis, quam antequam haec eſſemus conſequuti, virtutem exercere debemus; atque illud cogitare, quod ei. qui plura obtinuerit, vel plures invident, atque inſidiantur, & hoſtes evadunt. Polybio vero hoc in loco ſermo eſt de Carthaginenſibus, qui cum Hiſpaniam (ut ſuperius diximus) victoriis ſubegiſſent, eamdem rurſus, propter iniurias in ſubiectos populos, amiſerunt. Quocirca plures ait prima victoria feliciter uſos, quam qui ſecundis rebus ad extremum uſque praeclare abuti noverint: ac proinde maius eſſe, ac difficilius, victoriam prudenter reliquum in tempus adminiſtrare, quam vincere.

(1) Ita Pompeiani ante Pharſalicum praelium, multa de victoria, quam ſibi certo pollicebantur, conferebant inter

ἐποίησαν τὰς ἥττας, εὐχερῶς πολλάκις ἠγωνισμένων τῶν στρατιωτῶν. Κατήχυναν δὲ καὶ τὰς πρὸ τούτου πράξεις· ἐπονείδιστον δὲ σφίσι τὸν καταλειπόμενον ἐποίησαν βίον. Διότι πολλοὶ τῶν ἡγουμένων περὶ τοῦτο τὸ μέρος σφάλλονται· καὶ διότι μεγίστην ἐν τούταις ἔχει διαφορὰν ἀνὴρ ἀνδρὸς, εὐχερὲς τῷ βουλομένῳ καταμαθεῖν. Πολλὰ γὰρ ὑποδείγματα τῶν τοιούτων πεποίηκεν ὁ προγεγονὼς χρόνος. Βιβ. ιά

κζ' Καθάπερ ὑπὸ τοῦ πυρὸς, ὅταν ὑφάψῃ τὶς ἅπαξ τὴν ὕλην, οὐκέτι τὸ λοιπὸν ἐπὶ τούτου προαιρέσει γίνεται τὸ συμβαῖνον, ἀλλ' ᾗ ποτ' ἂν τύχῃ, λαμβάνει τὴν νομὴν, τὸ πλεῖον τοῖς ἀνέμοις κυβερνώμενον, καὶ τῇ τῆς ὑποκειμένης ὕλης διαφθορᾷ· καὶ πολλάκις ἐπ' αὐτὸν τὸν ἐμπρήσαντα πρῶτον ὁρμᾶται παραλόγως· τὸν αὐτὸν τρόπον καὶ ὁ πόλεμος ὑπότινων ὅταν ἅπαξ ἐκ-

---

σχυῦντο σφίσι, διελέγοντο πρὸς ἀλλήλους, καὶ τὰ μετ' αὐτὴν ἐσόμενα προκατασκευάζοντες ἐβουλεύοντο· ὥστε καὶ τὸ δεῖπνον, τὸ μετὰ μάχην ἐξαρτύσαι μεγαλοπρεπῶς, καὶ τὰς σκηνὰς ἀναστέψαι δάφναις, τῆς μελλούσης σύμβολον νίκης· καὶ τὸ πεποιημένον ἀργύριον ἐκθέντας μόνον οὐ πομπεύειν, καὶ παιανίζειν, πρὶν ἢ χεῖρας τοῖς ἐναντίοις συμβαλεῖν· ἥττης δὲ γενομένης αὐτοῖς, διὰ τὸ μηδὲν σχεδὸν προβουλεύσασθαι τῶν ἐπιτηδείων, καὶ ὠφελίμων ἐσομένων δὴ πλήσασιν, αὐτῇ ἡμέρᾳ καὶ ἡττήθησαν μάχῃ, καὶ ἐξέπεσον τῆς παρεμβολῆς.

iam, propter pravitatem ſuam, & temeritatem, turpiſſime victi ſunt, cum ſaepe milites ſtrenue, ac fortiter dimicaſſent: quaeque antea feliciter geſſerant, dehoneſtarunt, ac reliquam ſibi vitam ignominioſam reddiderunt. Quod vero hac in parte permulti Imperatores peccare ſoleant, virque a viro plurimum in hiſce differat, facile, ſi lubuerit, perſpici poteſt. Etenim ante acta aetas plura nobis eiuſmodi exempla reliquit. *Ex l.11.*

XXVII. Quo modo, cum ſemel quis aptam materiam incẽderit, non pendet deinceps ab huiuſce voluntate, ac conſilio, quod inde evenit; ſed quocumque flamma invaſerit, depaſcitur, eaque ut plurimum & ventorum impetu, & ſubiecto pabulo gubernatur; quin etiam in hunc ipſum, qui excitavit incendium, temere ſaepe ſaepius incurrit, eodem modo bellum etiam, cum ſemel a qui-

 buſdam

inter ſe: eaque, quae fuiſſent illam conſequuta, providebant, ac praeparabant: ut vel coenam, quam poſt pugnam celebraſſent, magnifice inſtruerent, & tabernacula lauro coronarent, ad futuri indicium triumphi, & caelatum argentum exponerent, & paeanem prope canerent, antequam manus cum hoſtibus conſeruiſſent. Cum vero fuiſſent praelio ſuperati, quod nihil eorũ fere proviſum eſſet, quae ſalutem afferre poterant victis, uno eodemque die & pugnando devicti ſunt, & caſtra cum omni ſupellectile, & ornatu, amiſerunt.

ἐκκαυθῇ, τότε μὲν αὐτοῦ τούτους πρῶτον ἀπόλλυσι· ποτὲ δὲ φέρεται φθεῖρον ἀδίκως πᾶν τὸ παραπετὸν, ὡς καινοποιούμενον, καὶ προσφυσώμενον, ὥσπερ ὑπ' ἀνέμων, ὑπὸ τῆς τῶν πλησιαζόντων ἀγνοίας.

κη' Μεγάλα ὁ Φιλοποίμην ἔφη τὴν λαμπρότητα συμβάλλεσθαι πρὸς ἔκπληξιν τῶν ὑπεναντίων, πολλὰ δὲ συνεργεῖν τὴν ἐκ τῆς ἐπισκευῆς ἁρμογὴν τῶν ὅπλων εἰς τὴν χρείαν· γίγνεσθαι δὲ μάλιστα τὸ δέον, ἣν τὴν μὲν ἐπιμέλειαν, ἣν νῦν ποιοῦνται περὶ τὸν ἱματισμὸν, ταύτην ποιήσαιντο περὶ τὴν τῶν ὅπλων· τὴν δὲ πρότερον ὀλιγωρίαν περὶ τῶν ὅπλων παρ' αὐτοῖς ὑπάρχουσαν, ταύτην μετήνεγκαν ἐπὶ τὰς ἐσθῆτας· οὕτω γὰρ ἅμα τούς τε κατ' ἰδίαν βίους ὠφελήσεσθαι, καὶ τὰ κοινὰ πράγματ' ὁμολογουμένως αὐτοὺς δυνήσεσθαι σώζειν. Διόπερ, ἔφη, δεῖ τὸν εἰς ἐξοπλασίαν, ἢ στρατείαν ἐκπορευόμενον; ὅτι μὲν τὰς κνημῖδας περιτίθεται, σκοπεῖν, ὅπως ἀραρυῖαι, καὶ στίλβουσαι τῶν ὑποδημάτων, καὶ κρηπίδων ὑπάρχωσιν αὗται μᾶλλον· ὅταν δὲ τὴν ἀσπίδα, καὶ θώρακα, καὶ τὸ κράνος διαλαμβάνῃ, περιβλέπειν, ἵνα τῆς χλαμύδος, καὶ τοῦ χιτῶνος καθαριώτερα ταῦτα ὑπάρ-

busdam incensum fuerit, modo hosce ipsos, qui illud excitarunt, labefactat primum, atque perdit: modo quidquid aliud obvium habuerit, quamvis alienum a culpa, devastat omne, ac corrumpit: ut ventis, ita eorum inscitia, qui propius adventarint, renovatum, & incensum.

XXVIII. Philopoemen bellici apparatus, vestitusque splendorem plurimum conferre affirmabat ad hostes percellendos: itemque aptam armorum fabricam magno esse usui. Quae vero opus est, omnia recte proventura, si quam nunc diligentiam homines adhibent in vestiendis, & ornandis corporibus, eamdem vertant ad arma instruenda: quae vero apud ipsos armorum negligentia, & incuria est, hanc ad vestitum transferant. Ita enim affirmabat fore, ut & ad privatas ipsorum vitas emolumentum accederet, ac publicas res sine controversia tueri possent. Quocirca oportet, aiebat, eum, qui suscepturus est expeditionem aliquam, aut sese ad praelium instruit, quando ocreas induit, operam dare, ut hae calceis ipsis, atque caligis aptiores sint, ac nitidiores: cum vero scutum sumit, & loricam, & galeam, providere diligenter, ut isthaec chlamyde, atque tunica

ὑπάρχῃ, καὶ πολυτελέστερα. Παρ' οἷς γὰρ τὰ πρὸς ἐπιφάνειαν αἱρετώτερά ἐστι τῶν πρὸς χρείαν, παρὰ τούτοις αὐτόθεν εὐθέως προφανὲς εἶναι τὸ συμβησόμενον ἐν τοῖς κινδύνοις· καθόλου δ' ἠξίου διαλαμβάνειν, ὡς ὁ μὲν ἐν τοῖς ἱματίοις καλλωπισμὸς γυναικός ἐστι, καὶ ταύτης οὐ λίαν σώφρονος· ἡ δ' ἐν τοῖς ὅπλοις πολυτέλεια, καὶ σεμνότης, ἀνδρῶν ἀγαθῶν, προαιρουμένων ἑαυτῶν, καὶ τὰς πατρίδας ἐνδόξως σώζειν.

κθ' Ὅσον συμβαίνει τῶν ἐν ταῖς δημοκρατίαις ὄχλους προθυμοτέρους ὑπάρχειν ἐν τοῖς πολεμικοῖς ἀγῶσι τῶν τοῖς τυράννοις πολιτῶν ὑποτεταγμένων, τοσούτῳ τὰ παρὰ τοῖς Μονάρχοις ξενικὰ τῶν ἐν ταῖς δημοκρατίαις μισθοφορούντων εἰκὸς ὑπεράγειν, καὶ διαφέρειν. Ὥσπερ γὰρ ἐπικείμενος οἷς μὲν ὑπὲρ ἐλευθερίας ἐστὶν, οἷς δ' ὑπὲρ δουλείας ὁ κίνδυνος, οὕτως ἐπὶ τῶν μισθοφόρων οἷς μὲν ὑπὲρ ὁμολογουμένης ἐπανορθώσεως, οἷς δ' ὑπὲρ προδήλου βλάβης γίγνεται φιλοτιμία. Δημοκρατία μὲν γὰρ ἐπανελομένη τοὺς ἐπιβουλεύσαντας, οὐκέτι μισθοφόροις τηρεῖ τὴν ἑαυτῆς ἐλευθερίαν. Τυραν-

mundiora sint, ac sumptuosiora. Nam apud quos ea, quae ad externam speciem, & apparatum spectant, studiosius coluntur, quam quae ad usus bellicos pertinent, cuiusmodi sint illi futuri in belli discriminibus, inde confestim intelligi potest. Universim autem illud mente distinguendum admonebat: curiositatem, ac studium in ornandis corporibus, mulieris esse proprium, & eius, quae haud nimium temperans sit: sumptuositatem vero, atque decus in armorum apparatu bonis viris convenire, quibus propositum est, se, ac patrias suas, cum gloria, servare incolumes.

XXIX. Quanto liberis in civitatibus vulgus hominum in bellicis certaminibus promptius, paratiusque esse solet, quam urbanae Tyrannorum copiae, tanto exercitus ex advenis conflati, & a Regibus conducti, mercenariis liberarum civitatū militibus debêt antecellere. Etenim quemadmodum illis (*nempe liberis civibus*) pro libertate, hisce vero (*qui Tyrannis parent*) pro servitute certaminis periculum adeundum est, ita mercenariae copiae (*quae Tyrannis subiiciuntur*) pro certo emolumento, hae vero (*quae liberis civitatibus*) pro aperto damno decertant. Libera enim Resp., cum

Τυραννὶς δ' ὅσῳ μειζόνων ἐφίεται, τοσούτῳ πλειόνων προσδεῖται μισθοφόρων (α'). Πλείονας γὰρ ἀδικοῦσα, πλείονας ἔχει καὶ τοὺς ἐπιβουλεύοντας. Ἡ γὰρ τῶν Μονάρχων ἀσφάλεια τὸ σύμπαν ἐν τῇ τῶν ξένων εὐνοίᾳ κεῖται, καὶ δυνάμει.

λ' Πλεῖστα τῶν κατὰ πόλεμον συντελουμένων ἐμπειρίᾳ, καὶ πάλιν ἀπειρίᾳ ἐπιτελεῖται. Μέγα μὲν γὰρ ἴσως καὶ τὸ προτερήματος ἀρχὴν λαβόν-

(α'). Αἰτίαν προφέρων Ἀππιανὸς Ἀλεξ. (ὡς ῥηθήσεται ἑξῆς) διὰ τί ποτε φιλοῦσιν ἐπὶ τοσοῦτον οἱ μισθοφόροι τοὺς τυράννους, οὓς δορυφοροῦντες ὑπερασπίζουσι, λέγει, „ ὅτι ξυναδικοῦντες τῆς παρ' ἀλλήλων ἐπικουρίας δέονται.

(α') Ὁ Μαχανίδας, τύραννος τῶν Λακεδαιμονίων, συμμίξας τοῖς Ἀχαιοῖς, ὧν ὁ Φιλοποίμην ἡγεῖτο, τοὺς μὲν μισθοφόρους αὐτῶν ἔτρεψεν, καὶ αὐτὸς μειρακιωδῶς συγχυθεὶς τοῖς αὐτοῦ μισθοφόροις ἐπέκειτο φεύγουσι, πολὺ διασπασθεὶς τοῦ στρατοῦ ἐπιλοίπου. Ὁ δὲ Φιλοποίμην, καίτοι παντὸς τοῦ ξενικοῦ, οὗπερ ἦγεν, αὐτῷ ἐγκεκλικότος, οὐκ ἀθυμήσας, ἀλλὰ μείνας ἐπ' αὐτῷ, καὶ πάσῃ τῇ φάλαγγι, ἣν ἔτι ἀκέραιον εἶχεν, καθορμήσας τῆς τῶν Λακεδαιμονίων φάλαγγος, ἐκράτησε μάχῃ· καὶ ἐπὶ τοσοῦτο περιέστη τὰ πράγματα, ὥστε τὸν ἄρτι κρατήσαντα Μαχανίδαν μετὰ στρατεύματος παντὸς ὄλλυσθαι. Ὁ δὲ Φιλοποίμην ἅμα τἀγαθοῦ στρατηγοῦ ὑπόδειγμα ἐξ ἑαυτοῦ προὔφηνε, καὶ τὰς γίγνεσθαι φιλούσας, ἐν ταῖς μάχαις καταστροφὰς, καὶ περιστάσεις ἀπέδειξεν· ὧν πλείστας δὴ οὐκ ἐπὶ τοσοῦτον ἡ τύχη, ὡς ἡ ἐμπειρία, πάλιν τ' ἀπειρία τῶν ἡγεμόνων κυβερνᾶν πέφυκε.

cum hostes suos, & paratas ab hisce insidias depulerit, suam iam ipsius libertatem non servat mercenariis communem. At Regnum, quo maiora concupierit, eo pluribus eget exercitibus conductis (1). Nam, quo in plures peccarit, eo plures habet, qui sibi insidientur: omninoque Regum securitas posita est in advenarum virtute, ac benevolentia.

XXX. Quamplurima eorum, quae in bellis geruntur, ex peritia, rursusque ex imperitia conficiuntur (2). Nam & illud forte magnum

(1) Causam proferens Appianus Alex. (ut suo loco videbimus), cur milites mercenarii tantopere Tyrannos diligant, quos custodiunt, inquit: *quod cum simul peccent, alter alterius ope, ac praesidio indiget*.

(2) Machanidas, Rex Lacedaemoniorum, cum Achaeis (quos Philopoemen ducebat) praelio congressus, mercenarias quidem ipsorum copias in fugam coniecit: ipse vero iuvenili ardore, commixtus stipendiariis militibus, insequebatur fugientes, plurimum a reliquo exercitu distractus. Philopoemen autem, licet mercenariae illius copiae inclinassent, haud diffisus animo, sed suo se loco tenens, tota phalange, quam adhuc integram habebat, in Phalangem Lacedaemoniorum impetum fecit, eamque profligavit, ac vicit. In quo ea rerum conversio facta est, ut Machanidas, paulo ante victor, cum suis omnibus victus occumberet. Philopoemen autem & boni, solertisque ducis specimen dedit ex sese; atque una ostendit eas vicissitudines, quae in praeliis obtingere consueverunt: quarum pleraeque non tam fortuna, quam peritia, rursusque imperitia, atque inscitia Imperatorum gubernantur.

λαβόντα προθεῖναι τἀκόλουθον· πολὺ δὲ μεῖζον τὸ σφαλέντα ταῖς πρώταις ἐπιβολαῖς μεῖναι παρ' αὐτὸν, καὶ συνιδεῖν τὴν τῶν εὐτυχούντων ἀκρισίαν, καὶ συνεπιθέσθαι τοῖς τούτων ἁμαρτήμασιν· ἰδεῖν γοῦν ἐστι πολλάκις, τοὺς μὲν ἤδη δοκοῦντας περιεστερηκέναι, μετ' ὀλίγον τοῖς ὅλοις ἐσφαλμένους· τοὺς δ' ἐν ἀρχαῖς δόξαντας ἐπταικέναι, πάλιν ἐκ μεταβολῆς παρὰ τὴν αὐτῶν ἀγχίνοιαν τὰ ὅλα παραδόξως κατωρθωκότας.

λα' Πολλοῖς ἤδη τοῦτο συμβέβηκε (τὸ νικᾶσθαι παρ' ἐλπίδα) οἵτινες παραταξάμενοι μὲν ἐκ ἀξιοχρέως σφᾶς αὐτοὺς εἶναι τοῖς ὑπεναντίοις ἀγωνίζεσθαι, τινὲς μὲν διὰ τόπους, οἱ δὲ διὰ πλῆθος, οἱ δὲ δι' ἄλλας αἰτίας, μακρὰν αὐτοὺς δόντες ἐμπορίᾳ κατὰ τὴν ἀπόλυσιν (d), δι' αὐτῶν

τῶν

(α') Τὸ αὐτὸ τοῦτο καὶ τῷ Μαχανίδᾳ (ὡς ἄρτι εἰρήκαμεν, καὶ οὗ πέρι λόγος ἐστὶ Πολυβίῳ) καὶ τῷ Ἀντιόχῳ (παραλείπω γὰρ ἄλλους) συμβέβηκεν· ὃς παραταξάμενος πρὸς τοὺς Ῥωμαίους παρὰ τῷ ποταμῷ Φρυγίῳ, καὶ ἧπερ αὐτὸς διετέτακτο, διακόψας ῥᾳδίως τὸ σύνταγμα τῆς τῶν Ῥωμαίων φάλαγγος, καὶ διώξας ἐπὶ πολὺ, ἀναστρέψας εὗρε τὸ αὐτοῦ στράτευμα ἡττηθὲν ὑπὸ Ῥωμαίων ὅλον, καὶ πολιορκούμενον ἐν στενῷ· ὥστ' αὐτὸν μόλις διὰ φυγῆς αἰσχρᾶς εἰς ἀσφαλὲς ἑαυτὸν ἀναλαβεῖν.

gnum sit, cum coeperis uti secundo rerum eventu, ita prosequi, ut coeperas, multo vero maius est, cum incoepta male processerint, in statu suo perseverare, imprudētiãque eorũ, qui secunda fortuna fruuntur, animadvertere, ac persequi, quae peccata ab iisdem fuerint, & ea ex parte adoriri, qua peccarint. Igitur persaepe licet eos videre, qui antea vicisse videbantur, non multo post profligatos, ac penitus prostratos fuisse: e contra illos, qui visi fuerant initio offendisse, ex insperato facta conversione, solertia sua, ac sagacitate victoriam adeptos.

XXXI. Hoc iam contigit pluribus (ut praeter opinionem vincerentur), qui cum non pari virtute adversus hostes in acie stetissent, alii propter locorum naturam, alii propter copiarum numerum, & alii ob causas alias, seque longe ab exercitu distraxissent (1), spera-

(1) Hoc idem & Machanidae (de quo modo loquebamur, & de quo sermo Polybio est), & Antiocho (nam praetermitto alios) contigit: qui postremus cum aciem instruxisset adversus Romanos ad Phrygium flumen, qua ipse ex parte constiterat, Romanas legiones perrupit, ac longe persequutus est fugientes. Inde vero pedem referens, universum exercitum victum a Romanis, & angusto in loco obsessum, ac circumclusum invenit. Ipse vix, elapsus turpi fuga, sese in tutum potuit recipere.

τῶν ἐξηγούντων ἤλπισαν οἱ μὲν περιτερήσειν, οἱ δὲ ἀσφαλῶς ἀπολυθήσεσθαι τῶν πολεμίων ἐν οἷς δὴ καὶ τὰ μέγιστα συμβαίνει σφάλλεσθαι τοὺς ἡγουμένους.

λβ' Εἰδέναι δεῖ τὸ γινόμενον, χρῆσθαι δὲ ταῖς πρὸς καιρὸν (α') ἁρμοζούσαις κινήσεσι.

λγ' Ἔστιν ὅτε καὶ ταὐτόματον ἀντέπραξε ταῖς ἐπιβολαῖς τῶν ἀγαθῶν ἀνδρῶν (β')· ἔστι δ' ὅτε πάλιν κατὰ τὴν παροιμίαν ἐσθλὸς ὢν ἄλλου κρείττονος ἀντέτυχε.

λδ' Ἐμοὶ δοκεῖ τὸ μὲν ἄρξασθαι καλῶς, καὶ συνακμάσαι ταῖς ὁρμαῖς πρὸς τὴν τῶν πραγμάτων

(α') Ἐνταῦθ' ἐπαινεῖ Πολύβιος τὸν Πόπλιον Σκιπίωνα, τὸν ἐν τῇ πρὸς τὸν Ἀσδρούβαν μάχῃ νουνεχῶς μὲν παραταξάμενον, ἀεὶ δὲ πρὸς τὸ συμβὰν τὰς βουλὰς, καὶ τὰς τῶν δυνάμεων κινήσεις ἁρμόζοντα.

(β') Ἐγκωμιάσας ὁ Συγγραφεὺς Ἀννίβαν πολλάκις διὰ τὴν ἀρετὴν, καὶ τὴν τῶν πολεμικῶν ἐμπειρίαν, καὶ ἐπιστήμην, καὶ τὰς ταύτῃ συνακολουθούσας αὐτοῦ πράξεις, βουλόμενος δὲ ὑπὲρ αὐτοῦ καὶ ἀπολογεῖσθαι, νικηθέντος ὑπὸ Σκιπίωνος ἐν τῇ Λιβύῃ, τὸ γεγενημένον εἰς τε τύχην ἀναφέρει, καὶ ἅμα εἰς τὴν τοῦ Σκιπίωνος ἀρετήν. Κἀκεῖνό που λέγων· ὅτι εἰ πάντα τὰ δυνατὰ ποιήσας εἰς τὸ νικᾶν, ὅμως ἔσφαλη, τὸν προτοῦ χρόνον διατελέσας ἀνίκητος, συγγνώμης ἄξιος.

rarunt per extremos ordines victores se discedere posse , aut tuto ab hostibus suas copias removere : in quibus vel maxime peccare duces consueverunt .

XXXII. Pugnae eventum oportet considerare , & aptis ad tempus (1) motionibus uti .

XXXIII. Fortuiti casus aliquando bonorum Imperatorum conatibus obstitere : interdum vero , ut fert adagium , cum bonus ipse , navusque esset , incidit in praestantiorem (2) .

XXXIV. Illud iam pluribus accidisse mihi videtur , ut negotia bene inchoarent , & suis cona-

(1) Laudat hoc in loco Polybius P. Scipionem , qui in eo praelio , quod adversus Asdrubalem in Hispania commisit , cum solerter adversus hostem aciem direxisset , ad ea , quae accidebant in ipso certamine , continuo sua consilia , atque copiarum motiones accomodabat .

(2) Cum saepe saepius Annibalem scriptor laudasset , ob eius virtutem , ac singularem rerum bellicarum peritiam , ac scientiam , necnon propter illa , quae gesserat, eiusdem virtuti consentanea , volens & ipsum excusare, quod a P.Scipione praelio superatus in Africa fuisset , acceptam ab ipso cladem refert & in fortunam , & in virtutem Scipionis ; atque illud affirmat , quod , si is , qui omne ante tempus invictus permansit , nihil praetermisit , ut vinceret , ac victus nihilominus est , omni ipse venia sit dignus .

των αὔξησιν ἐπὶ πολλῶν ἤδη γεγονέναι· τὸ δ' ἐπὶ τέλος ἀγαγεῖν τὸ προτεθὲν, καί που καὶ τῆς τύχης ἀντιπραττούσης (α'), συνεκπληρῶσαι τῷ λογισμῷ τὸ τῆς προθυμίας ἐλλιπὲς, ἐπ' ὀλίγων γίγνεσθαι. Βιβ. ις'

λέ Τοῦτο μὲν προήχθην εἰπεῖν (περὶ Φιλίππου, εὐςαθῶς ἐγκαρτεροῦντος τῷ πολέμῳ) διὰ τό τινας μὲν ἐπὶ τῷ τέρματι, καθάπερ οἱ κακοὶ τῶν ςαδιέων, ἐγκαταλιπεῖν τὰς ἑαυτῶν προθέσεις, τινὰς δ' ἐν τούτῳ μάλιςα νικᾷν τοὺς ἀντιπάλους.

(α') Ἐγκωμιάσας ὁ Πολύβιος τὸν Φίλιππον τῆς καρτερίας, καὶ μεγαλοψυχίας· ὃς ὑπ' Ἀττάλου βασιλέως, καὶ τῶν Ῥοδίων ἡσσηθεὶς, πολὺ καὶ δεήσας ἀθυμῆσαι, ἀσχάλλων δὴ τοῖς γεγονόσιν αὐτῷ ἐλαττώμασι, χρώμενός τ' ὀργῇ παραβόλῳ, καὶ θυμῷ ἀνώρθωσε τὰ πράγματα, παραςατικῶς, ὡς λέγει Συγγραφεὺς, καὶ οἷον δαιμονίως ἐνορμήσας εἰς τοὺς ἐνεςῶτας καιροὺς. Τοὐναντίον δὲ τὸν Ἄτταλον, καὶ τοὺς Ῥοδίους ψέξας ὀλιγοπονίας, καὶ ῥαθυμίας ἐν τῷ μεταχειρίζεσθαι τὸν πόλεμον, τέλος φησὶ, τὸ καλῶς ἄρξασθαι τῶν ἔργων ἐπὶ πλειόνων δὴ γεγονέναι τοῦ κατὰ τὸ προτεθὲν συντελέσαι τὰ πράγματα· ὡς παρακμαζόντων ἑξῆς, καὶ τῆς ὁρμῆς, καὶ τῶν βουλευμάτων· ὅπερ φιλεῖ δὴ καθ' ἕκαςα γίγνεσθαι.

conatibus ad res amplificandas viriliter nitentur: perpaucis autem obtigisse, ut, quod mente spectabant, ad exitum perducerent, quodque sibi deerat, ex quadam fortunae iniuria, ad assequenda cogitata animi, praesente consilio (1) supplerent.

XXXV. Haec, ut scriberem, adductus sum (de Philippo, qui ad extremum usque bellum constanter sustinuerat): quod nonnulli, ut mali cursores solent in stadio, ad metas ipsas a proposito desistant: alii ad has ipsas maxime vincant adversarios.

(1) Cum Polybius commendasset Philippum ob animi eius constantiam, ac magnitudinem, qui ab Attalo Rege, Rhodiisque victus non modo non despondit animum, sed etiam iacturis suis, & cladibus indignans, usus incredibili iracundia, aestuque animi, regnum recuperavit: quodam scilicet impetu (ut narrat Historicus), ac tamquam divina vi, & instinctu irruens in praesentia tempora; atque idem econtra Attalum, & Rhodios vituperasset, ob socordiam, ac desidiam in bello administrando, ait ad extremum: obvenisse iam pluribus, ut res suas feliciter exordirentur, quam ut ex animi sententia perficerent: propterea quod prima consilia, & impetus (quod caeteris quoque in rebus usuvenire solet) processu temporis, deserveant.



ΤΟΥ ΠΟΛΥΒΙΟΥ ΕΚΛΕΚΤΑ

ΙΣΤΟΡΙΚΑ.

α' Ἐκ τῶν κατὰ μέρος γραφόντων τὰς ἱστορίας οὐχ οἷόν τε συνιδεῖν (τὸ σύνολον τύχης ἔργον), εἰ μὴ καὶ ἐπιφανεστάτας πόλεις τις κατὰ μίαν ἐπελθὼν, ἢ καὶ νὴ Δία γεγραμμένας χωρὶς ἀλλήλων θεασάμενος, εὐθέως ὑπολάβοι κατανενοηκέναι καὶ τὸ τῆς ὅλης οἰκουμένης σχῆμα, καὶ τὴν σύμπασαν αὐτῆς θέσιν, καὶ τάξιν· ὅπερ ἐστὶν οὐδαμῶς εἰκός. Καθόλως γὰρ ἔμοιγε δοκοῦσιν οἱ πεπεισμένοι διὰ τῆς κατὰ μέρος ἱστορίας μετρίως συνόψεσθαι τὰ ὅλα, παραπλήσιόν τι πάσχειν, ὡς ἂν εἴτινες ἐμψύχου, καὶ καλοῦ σώματος γεγονότος διερριμμένα τὰ μέρη θεώμενοι νομίζοιεν ἱκανῶς αὐτόπται γίγνεσθαι αὐτῆς τοῦ ζώου καὶ καλλονῆς. Εἰ γάρ τις αὐτίκα μάλα συνθεὶς, καὶ τέλειον αὖθις ἀπεργασάμενος τὸ ζῶον τῷτε εἴδει, καὶ τῇ τῆς ψυχῆς εὐπρεπείᾳ, κἄπειτα πάλιν ἐπιδεικνύοι τοῖς αὐτοῖς ἐκείνοις, ταχέως ἂν οἶμαι, πάντας αὐτοὺς ὁμολογήσειν, διότι καὶ λίαν πολύ τι τῆς ἀληθείας ἀπελείποντο πρόσθεν, καὶ παραπλήσιοι τοῖς ὀνειρώττουσιν ἦσαν. Ἔννοιαν γὰρ λαβεῖν ἀπὸ μέρους τῶν ὅλων δυνατόν· ἐπιστήμην δὲ



LOCA E POLYBIO SELECTA
AD HISTORIAM PERTINENTIA.

I. EX his, qui particulatim Hiſtorias conſcribunt, minime licet totius operis, quod a fortuna contexitur, in cognitionem venire, atque illud mente comprehendere: niſi forte cum nobiliſſimas civitates quis ſingillatim adierit, aut etiam, per Iovem, eaſdem pictas ſeorſim, ac deſignatas conſpexerit, hinc Orbis univerſi formam, eiuſque ſitum omnem, ac deſcriptionem ſe comprehendiſſe arbitrabitur. Quod nullo modo fieri aequum eſt. Etenim ii mihi videntur, qui univerſarum rerum ſeriem ex particulari hiſtoria aliqua ſatis ſe contemplari poſſe exiſtimant, eodem modo habere; ac ſi, cum aliqui animati, formoſique corporis partes diſtractas, ac diſperſas conſpexerint, ipſius animantis vim, ac pulchritudinem ſuis ſe oculis perſpexiſſe opinentur. Si enim eas quis confeſtim compoſuerit, ac rurſus integrum, ac perfectum animal confecerit, cum externa praeditum forma, tum quadam animi decētia praeſtantem, atque iis ipſis ante oculos rurſus ponat, neminem eſſe cēſeo, qui non ſtatim aſ-

δὲ, καὶ γνώμην ἀτρεκῆ ἔχειν, ἀδύνατον. Διὸ παντελῶς βραχύ τι νομιστέον συμβάλλεσθαι τὴν κατὰ μέρος ἱστορίαν πρὸς τὴν τῶν ὅλων ἐμπειρίαν, καὶ πίστιν. Ἐκ μὲν τοίγε τῆς ἁπάντων πρὸς ἄλληλα συμπλοκῆς, καὶ παραθέσεως, ἔτι δὲ ὁμοιότητος, καὶ διαφορᾶς μόνον ἄν τις ἐφίκοιτο, καὶ δυνηθείη κατοπτεύσας (α') καὶ τὸ χρήσιμον, καὶ τὸ τερπνὸν ἐκ τῆς ἱστορίας λαβεῖν. Βιβ. α'

β' Ἐν τῷ λοιπῷ βίῳ τὴν τοιαύτην ἐπιείκειαν ἴσως οὐκ ἄν τις ἐκβάλοι. Καὶ γὰρ φιλόφιλον δεῖ εἶναι τὸν ἀγαθὸν ἄνδρα, καὶ φιλόπατριν, καὶ

(α') Ὁ Πολύβιος οὐχ οὕτω τὰς κατὰ μέρος ἱστορίας ἀποδοκιμάζει, ὡς ἀεὶ τοῦ προσήκοντος ἐνδεούσας, ὡς ἐπιχειρήσας αὐτὸς τὴν τῶν Ῥωμαίων ἱστορίαν γράψαι, καὶ τοῦτο ἐν ἐκείνοις καιροῖς, οἷς, ὡς φησὶν αὐτὸς „ ἡ τύ„ χη σχεδὸν ἅπαντα τὰ τῆς οἰκουμένης πράγματα πρὸς „ ἓν ἔκλινε μέρος, καὶ πάντα νεύειν ἠνάγκαζε πρὸς ἕνα, „ καὶ τὸν αὐτὸν σκοπὸν „ τῶν ἀρχῶν, καὶ πολιτειῶν ἄλλων δηλονότι ὡς ὑπενενευκυιῶν ἑνὶ τῷ Ῥωμαίων κράτει, ἡγήσατ' ἀναγκαῖον τῆς κατὰ μέρος ἱστορίας ἀποστάντα τὴν τῶν ὅλων περιλαβεῖν. Οὐ μὴν ἀλλὰ πολλοὶ τῶν ἱστοριογράφων τὰς κατὰ μέρος ἱστορίας ἐξηγησάμενοι, συνεχῶς αὐτὰς ἐχειρίσαντο, καὶ διαρκούντως τοῖς πράγμασι· τὸ χρήσιμον ἐξ αὐτῶν ἅμα, καὶ τὸ τερπνὸν ἐξενεγκέντες τοῖς ἐντυγχάνουσι.

ſentiatur, multo ſe antea ab ipſa veritate aberraſſe, ac ſomniantibus fuiſſe perſimilem. Etenim licet ex parte cognitionem totius aliquam concipere; eius vero ſcientiam, ac veracem notionem adipiſci nullo modo poſſumus. Quamobrem particularem hiſtoriam parum omnino conferre putandum eſt ad rerum univerſarum ſcientiam, ac fidem. Ex mutuo quidem omnium inter ſe nexu, & comparatione, ſimilitudine praeterea, ac diſcrimine illam, quam dixi, ſcientiam poſſumus aſſequi: unaque (1) fructum, & iucunditatem ex Hiſtoria percipere. *Ex l. 1.*

II. Moderationem eiuſmodi, ac convenientiam haud forte quis in reliqua vita abiiciat, ac deſerat. Nam bonum, & honeſtum

 virum

(1) Polybius non tam particulares Hiſtorias, tanquam mancas, & imperfectas, hoc loco improbat, quam ipſe aggreſſus Rom. Reip. Hiſtoriam ſcribere, idque eo tempore: *quo*, ut ipſe ait, *fortuna res univerſas in unam partem inclinaverat, & ad unum, eumdemque finem vergere omnia coegerat*: caeteris videlicet regnis, & imperiis in unum Rom. Imperium vergentibus quodammodo, & inclinatis, neceſſarium duxit a particulari hiſtoria conſcribenda ad eam, quae complecteretur univerſa, animum appellere. Caeterum vel particulares Hiſtorias plurimi ſolerter perſecuti ſunt; quantum ſcilicet iis par eſſet, & conſentaneum, quae ſibi narranda propoſuerant: utilitatem una, & voluptatem ex ſuis Hiſtoriis promentes legentibus.

καὶ συμμισεῖν τοῖς φίλοις τοὺς ἐχθροὺς, καὶ συναγαπᾷν τοὺς φίλους· ὅταν δὲ τὸ τῆς ἱστορίας εἶδος ἀναλαμβάνῃ τις, ἐπιλαθέσθαι χρὴ πάντων τῶν τοιούτων, καὶ πολλάκις μὲν εὐλογεῖν, καὶ κοσμεῖν (α) τοῖς μεγίστοις ἐπαίνοις τοὺς ἐχθροὺς, ὅταν αἱ πράξεις ἀπαιτῶσι τοῦτο· πολλάκις δὲ ἐλέγχειν, καὶ ψέγειν ἐπονειδίστως τοὺς ἀναγκαιοτάτους, ὅταν τῶν ἐπιτηδευμάτων ἁμαρτίαι τοῦθ' ὑποδεικνύωσιν· ὥσπερ γὰρ ζώου, τῶν ὄψεων ἀφαιρεθεισῶν, ἀχρειοῦται τὸ ὅλον, οὕτως ἐξ ἱστορίας ἀναιρεθείσης τῆς ἀληθείας, τὸ καταλειπόμενον αὐτῆς ἀνωφελὲς γίγνεται διήγημα. Διόπερ οὔτε τῶν

(α') Τούτων, ὧν νῦν διηγεῖται, μνημονεύσας ὁ Συγγραφεὺς λόγ. ιϛ' λέγει· „ἔφησα ἀναγκαῖον εἶναι ποτὲ μὲν εὐλογεῖν, ποτὲ δὲ ψέγειν τοὺς αὐτούς. ἐπειδὴ πολλάκις μὲν αἱ πρὸς τὸ χεῖρον τῶν πραγμάτων ῥοπαὶ, καὶ περιστάσεις ἀλλοιοῦσι τὰς προαιρέσεις τῶν ἀνθρώπων· πολλάκις δὲ αἱ πρὸς τὸ βέλτιον· ἔστι δὲ, ὅτε κατὰ τὴν ἰδίαν φύσιν ἄνθρωποι ποτὲ μὲν ἐπὶ τὸ δέον ὁρμῶσι, ποτὲ δὲ ἐπὶ τοὐναντίον". Τὸν συγγραφέα οὖν, ᾧ προκείμενον τὴν τῶν γεγονότων ἀλήθειαν διηγεῖσθαι ἀδόλως, καὶ ἁπλῶς, οὐδ' ὥσπερ ἐν ὁμηγύρει, ἢ συμποσίῳ τῶν ὁμιλικῶν, ἐρανίζειν, ᾧ βούλεται, ἔπαινον, ἢ ψόγον, πρὸς τὰ τῶν πραξάντων ἐπιτηδεύματα διάφορα, καὶ ἀρετὰς, ἢ ἁμαρτίας ἁρμόσαι χρή πως αὐτὸν τὸν λόγον ἅπαντα.

virum oportet & amicorum, & patriae amantem esse: unaque cum amicis, & odisse inimicos, & amicos diligere. Cum vero quispiā munus sibi Historiae conscribendae usurpaverit, debet horum omnium oblivisci, ac maximis saepe, faustisque laudibus(1) inimicos ornare, cum eorū facta postulaverint: saepe vero vel necessarios inprimis homines obiurgare, ac cum probro reprehendere, cum studia eorumdem, atque peccata id faciendum ostenderint. Nam ut animans, si eidem visum ademeris, inutilis totus evadit, sic, ex Historia veritate sublata, quod eius reliquum est, infructuosa existit narratio. Quocirca minime recusandum est Historico, quin & amicos accuset, & laudet inimicos: nec ipsi verendum,

(1) Scriptor mentionem huiusce loci facit l. XVI., inquiens: *illud dixeram necessarium esse, ut iidem homines interdum laudarentur, interdum autem vituperarentur, cum rerum conversiones, inclinationesque saepe in peiorem partem factae vel hominum studia, ac sententias immutent: saepe vero & hae, quae in meliorem partem accidunt. Quinimo aliquando homines, suapte natura ad officium ferantur, aut vero in contrariam partem inclinentur.* Quamobrem Historicus, cui propositum esse debet, simpliciter, atque sincere rerum praeteritarum veritatem referre, nec tamquam in concione, aut in aequalium convivio, quibus lubuerit, laudem, aut vituperationem impertire, ad diversa eorum studia, sive virtutes, sive vitia, ac peccata, qui gesserunt aliquid, omnem debet orationem accommodare.

τῶν φίλων κατηγορεῖν, οὔτε τοὺς ἐχθροὺς ἐπαινεῖν ὀκνητέον· οὔτε δὲ τοὺς αὐτοὺς ψέγειν, ποτὲ δὲ ἐγκωμιάζειν εὐλαβητέον· ἐπειδὴ τοὺς ἐν πράγμασιν ἀναστρεφομένους οὔτ' εὐστοχεῖν ἀεὶ δυνατὸν, οὔθ' ἁμαρτάνειν συνεχῶς εἰκός. Ἀποστάντες οὖν τῶν πραττόντων, αὐτοῖς τοῖς πραττομένοις ἐφαρμοστέον τὰς πρεπούσας ἀποφάσεις, καὶ διαλήψεις ἐν τοῖς ὑπομνήμασι.

γʹ Δεῖ οὐκ ἐπιπλήττειν τὸν συγγραφέα τερατευόμενον διὰ τῆς ἱστορίας τοὺς ἐντυγχάνοντας (α), οὐδὲ

(αʹ) Κατὰ Φιλάρχου ὁ λόγος· ἐς Μαντινεῖς γράψας ἐξηνδραποδισμένους ὑπὸ τοῦ Ἀντιόχου, Μακεδόνων βασιλέως, καὶ τῶν αὐτοῦ συμμάχων, Ἀχαιῶν, σπουδάζων τὴν ἐκείνων ταλαιπωρίαν, ἅμα τε τῶν ἐχθρῶν, ὑφ' ὧν ἔπαθον δεινὰ, ὠμότητα καθ' ὑπερβολὴν παρίστασθαι, εἰσάγει τερατευόμενος περιπλοκὰς γυναικῶν, καὶ κόμας διεῤῥιμμένας, καὶ θρήνους ἀνδρῶν, καὶ γεραιῶν ἅμα νηπίοις, καὶ γυναιξὶν ἀπαγωγὰς, καὶ ἄλλα τοιαῦτα· ἃ τὴν τραγῳδίαν μᾶλλον πρέπει, ἢ τὴν ἱστορίαν· καὶ διὰ τοῦτο καθάπτεται ἐκείνου ὁ Πολύβιος. Ἀλλὰ καὶ δι' ἐκεῖνο αὐτὸν διασύρει, ὅτι „ τὰς πλείστας, φησὶν, ἡμῖν ἐξηγεῖται τῶν „ περιπετειῶν, οὐχ ὑποτιθεὶς αἰτίαν, καὶ τρόπον τοῖς γε„ νομένοις, ὧν χωρὶς οὔτ' ἐλεεῖν εὐλόγως, οὔτ' ὀργί„ ζεσθαι καθηκόντως δυνατὸν ἐπ' οὐδενὶ τῶν συμβαι„ νόντων· ἐπεὶ τίς ἀνθρώπων οὐ δεινὸν ἡγεῖται τύπτεσθαι „ τοὺς ἐλευθέρους; ἀλλ' ὅμως ἐὰν μὲν ἄρχων ἀδίκων χει„ ρῶν, πάθη τις τοῦτο, δικαίως κρίνεται πεπονθέναι. „ Ἐὰν δ' ἐπὶ διορθώσει, καὶ μαθήσει ταυτὸ τοῦτο γέ„ νηται, προσέτι καὶ τιμῆς, καὶ χάριτος οἱ τύπτοντες „ τοὺς ἐλευθέρους ἀξιοῦνται. Καὶ μὴν τόγε τοὺς πολίτας „ ἀπο-

dum, quominus eoſdem ipſos modo vitüperet, modo laudibus ad caelum efferat. Etenim, qui in rebus gerendis verſantur, nec ſemper collineare poſſunt, nec fieri poteſt, ut peccent ſemper. Quamobrem diſcedendum ab hominibus eſt, & conſentaneae rebus ipſis, quae geruntur, notiones, ac ſententiae in Hiſtoriis accomodandae.

III. Scriptor non debet lectorem, per Hiſtoriam, portentoſis (1) narrationibus percellere, neque eos quaerere ſermones, qui fieri potue-

(1) Adverſus Philarchum ſermo Polybio eſt, qui narrans Mantinenſes ab Antiocho, Macedonum Rege, & eius ſociis Achaeis expugnatos fuiſſe, atque ſtudens ipſorum calamitatem, & hoſtium, qui eoſdem vehementer afflixerant, crudelitatem exaggerare, inducebat, ac hyperbolice narrabat amplexus mulierum, comas diſſipatas, & avulſas: eiulatus virorum: ſenes una cum pueris, ac mulieribus abactos: idque genus alia, quae Tragoediam magis, quam Hiſtoriam deceant: & idcirco a Polybio reprehenditur. Verum & eam ob cauſam illum obiurgat: *quod plures*, ait, *aerumnas nobis enarrat, quin eventis cauſas, & modum ſubiungat, ſine quibus iure nec miſericordia duci, nec convenienter ulla de re iraſci poſſumus. Quoniam ecquis hominum non cenſeat nefas eſſe liberos homines caedere? at ſi quis id ſubeat incommodi, quod ipſe prior vim intulerit, iuſte pertuliſſe iudicatur. Quod ſi id ipſum emendationis, ac diſciplinae cauſa fiat, hi, qui liberos homines verberaverint, vel honore, & gratia digni cenſentur. Atque etiam cives necare impiiſſimum exiſtimatur, ac maximis ſuppliciis*

οὐδὲ τοὺς ἐνδεχομένους λόγους ζητεῖν, καὶ τὰ παρεπόμενα τοῖς ὑποκειμένοις ἐξαριθμεῖσθαι, καθάπερ οἱ τραγῳδιογράφοι· τῶν δὲ πραχθέντων, καὶ ῥηθέντων κατ' ἀλήθειαν, αὐτῶν μνημονεύειν πάμπαν, ἂν πάνυ μέτρια τυγχάνωσιν ὄντα. Τὸ γὰρ τέλος ἱστορίας, καὶ τραγῳδίας οὐ ταυτὸν, ἀλλὰ τοὐναντίον. Ἐκεῖ μὲν γὰρ δεῖ διὰ πιθανοτάτων λόγων ἐκπλῆξαι, καὶ ψυχαγωγῆσαι κατὰ τὸ παρὸν τοὺς ἀκούοντας· ἐνθάδε δὲ δι' ἀληθινῶν ἔργων, καὶ λόγων εἰς πάντα τὸν χρόνον διδάξαι, καὶ πεῖσαι τοὺς φιλομαθοῦντας. Ἐπεὶ δήπερ ἐν ἐκείνοις μὲν ἡγεῖται τὸ πιθανὸν, κἂν ᾖ ψεῦδος, δι' ἀπάτην τῶν θεωμένων· ἐν δὲ τούτοις τἀληθὲς διὰ τὴν ὠφέλειαν τῶν φιλομαθούντων. Βιβ. β'

δ' Ἐγὼ, εἰ μέν τις ὑπείληφε πρὸς πᾶσαν περίστασιν αὐτάρκης ὑπάρχειν, καλὴν μὲν, οὐκ ἀναγκαίαν δὲ ἴσως φήσαιμ' ἂν εἶναι τὴν τῶν προγεγονότων ἐπιστήμην. Εἰ δὲ μηδεὶς ἂν μήτε πε-

ρὶ

„ ἀποκτιννῦναι, μέγιστον ἀδίκημα τίθεται, καὶ μεγίστων
„ ἄξιον προστίμων· καί τοί γε προφανῶς ὁ μὲν τὸν κλέ-
„ πτην, ἢ μοιχὸν ἀποκτείνας, ἀθῶός ἐστιν . . . οὕτω ἐν
„ παντὶ τὸ τέλος κεῖται τῆς διαλήψεως περὶ τῶν πε-
„ ριπετειῶν, οὐκ ἐν τοῖς τελουμένοις.

potuerint; neque illa, quae subiectas res consequuntur. percensendo numerare, ut Tragoediarum scriptores consuevere. Sed ea tãtummodo commemoranda sunt, quae vere dicta, actaque fuerunt; si quidem illa prorsus moderata fuerint.(*ut honeste narrari possint*).Historiae quippe, ac Tragoediae finis plane diverso modo se habet. Namque in Tragoedia audientium animi per eos sermones percellendi, nobisque quoad praesens tempus conciliandi sunt, qui proxime ad veritatem accedere videantur: in Historia vero dictis veracibus, atque factis discendi studiosi omne in tempus erudiendi, ac persuadendi sunt: cum in Tragoedia primum locum verisimilitudo obtineat, tametsi a veritate aliena sit, propter eorum errorem, qui spectant: in Historia autem veritas debeat primas ferre, ad eorum utilitatem, qui discendi studio ducuntur. *L.2*

IV. Sane, si quispiam se parem sibi esse ad omnẽ fortunae conditionẽ arbitratur, praeteritarum rerum scientiã utilẽ dixero fortasse, non tamen necessariam. Quod si nemo, neque

---

tiis mulctandum: verum qui vel palam furem, aut adulterum interfecerit, indemnis evadit... ita in omni infortunio diiudicando finis, quem aliquis spectavit, non ipsa eventa considerantur.

ρι τῶν κατ' ἰδίαν, μήτε περὶ τῶν κοινῶν τολμήσαι τοῦτ' εἰπεῖν, ἄνθρωπος ὤν, διὰ τὸ κἂν κατὰ τὸ παρὸν εὐτυχῇ, τήν γε περὶ τοῦ μέλλοντος ἐλπίδα μηδένα τῶν νῦν ποτ' ἂν εὐλόγως βεβαιώσασθαι, μηδένα τῶν νῦν ἐχόντων, οὐ μόνον καλήν, ἔτι δὲ μᾶλλον ἀναγκαίαν εἶναί φημι διὰ ταῦτα τὴν τῶν παρεληλυθότων ἐπίγνωσιν· πῶς γὰρ ἂν εἴτε αὐτὸς ἀδικούμενός τις, ἢ τῆς πατρίδος ἀδικουμένης, βοηθοὺς εὕροι, ἢ συμμάχους, εἴτε κτήσασθαί τι, καὶ προκατάρξασθαι σπουδάζων, τοὺς συνεργήσαντας αὐτῷ παρορμήσαι πρὸς τὰς ἐπιβολάς; πῶς δ' ἂν εὐδοκιμῶν τοῖς ὑποκειμένοις τοὺς βεβαιώσαντας τὴν αὐτοῦ προαίρεσιν, καὶ διαφυλάξαντας τὴν κατάστασιν παροξύναι δικαίως, εἰ μηδὲν εἰδείη τῆς τῶν προγεγονότων περὶ ἑκάστους ὑπομνήσεως; πρὸς μὲν γὰρ τὸ παρὸν ἀεί πως ἁρμοζόμενοι, καὶ συνυποκρινόμενοι τοιαῦτα καὶ λέγουσι, καὶ πράττουσι πάντες, ὥστε δυσθεώρητον εἶναι τὴν ἑκάστου προαίρεσιν, καὶ λίαν ἐν πολλοῖς ἐπισκοτεῖσθαι τὴν ἀλήθειαν. Τὰ δὲ παρεληλυθότα τῶν ἔργων (α'), ἐξ αὐτῶν τῶν πραγμάτων λαμβάνοντα τὴν δοκιμα-

(α') Ἐνταῦθ' ὁ Πολύβιος βεβαιοῖ τὰ ἐν ἀρχῇ τῆς ἱστορίας αὐτῷ εἰρημένα, ὡς ὁμολογούντων ἤδη πάντων „ μη-
„ δεμίαν

que privatis, neque publicis in rebus, hoc de se affirmare audeat, cum homo sit, (quamvis enim in praesentia secundo rerum cursu utatur, nemo tamen est, si modo aliquid sapit, qui futuri temporis spem iure optimo sibi certo polliceri possit) idcirco non modo praeclaram, sed etiam necessariam esse dico praeteritarum rerum cognitionem, & scientiam. Quo enim modo aliquis, cum ipse, vel eius patria opprimatur iniuria, sibi adiutores, bellique socios invenire queat; aut vero, cum ipse adipisci quidquam voluerit, ac se auctorem ad facinus aliquod praebere, adiutores, fautoresque suos excitet, & ad conādum impellat: ac rursus, cum re sua delectetur, qua ratione exacuat illos, qui statum suum, ac propositum tueantur, si nihil praeteritarum rerum noverit, quidque singulis acciderit, non recordetur? Quod enim spectat ad praesens tempus, singuli talia semper & loquuntur, & faciunt, eaque ita componunt, ac simulant, ut aegre admodum, quid quisque sentiat, aut spectet, cognosci posit, ac in multis veritas admodum obscuretur. Quae vero facta iam praeteriere (1), cum illa even-

(2) Polybius hoc in loco ea confirmat, quae initio Historiae suae dixerat, tamquam ex omnium consensione:

κιμασίαν, ἀληθινῶς ἐμφαίνει τὰς ἑκάστων προαιρέσεις, καὶ διαλήψεις· καὶ δηλοῖ παρ' οἷς μὲν χάριν, εὐεργεσίαν, βοήθειαν ἡμῖν ὑπάρχουσαν· παρ' οἷς δὲ τἀναντία τούτων· ἐξ ὧν καὶ τὸν ἐλεήσοντα, καὶ τὸν συνοργισόμενον, ἔτι δὲ τὸν δικαιώσοντα πολλάκις, καὶ ἐπὶ πολλῶν εὑρεῖν ἐστιν· ἅπερ ἔχει μεγίστας ἐπικουρίας καὶ κοινῇ, καὶ ἰδίᾳ περὶ τὸν ἀνθρώπινον βίον. Διόπερ οὐχ οὕτως ἐστὶ φροντιστέον τῆς αὐτῶν τῶν πράξεων ἐξηγήσεως οὔτε τοῖς γράφουσι, οὔτε τοῖς ἀναγινώσκουσι τὰς ἱστορίας, ὡς τῶν προτέρων, καὶ τῶν ἅμα,

---

,, δεμίαν ἑτοιμοτέραν εἶναι τοῖς ἀνθρώποις διόρθωσιν
,, τῆς τῶν προγεγενημένων πράξεων ἐπιστήμης ,, καὶ πάλιν ,, ἀληθινωτάτην εἶναι παιδείαν, καὶ γυμνασίαν πρὸς
,, τὰς πολιτικὰς πράξεις τὴν ἐκ τῆς ἱστορίας μάθησιν·
,, ἐναργεστάτην δὲ, καὶ μόνην διδάσκαλον τοῦ δύνασθαι
,, τὰς τῆς τύχης μεταβολὰς γενναίως ὑποφέρειν τὴν τῶν
,, ἀλλοτρίων περιπετειῶν ὑπόμνησιν,, . Καὶ μὲν ἡ ἱστορία παντοίων, καὶ διαφόρων πραγμάτων λόγους, καὶ περιστάσεις, ὡς ἐν τῷ πίνακι, διαγράφουσα, καὶ τὰ ἐκ τούτων ἐκβάντα οὐκ εἰκάζουσα δὴ, ἀλλ' ὡς ἔτυχον ὄντα κατ' ἀλήθειαν, διηγουμένη, πολλῶν ἤδη δοκιμασίαις, καὶ πείραις βεβασανισμένα διὰ πολλοῦ, ἀληθινὴν ἐπιστήμην παρέχεται, καὶ γνῶσιν, παντοδαπαῖς ἀνθρώπων τύχαις, καὶ τοῦ καθ' ἡμέραν βίου καταστροφαῖς ἁρμόζουσαν. ὥστ' εἰκότως αὐτὴν κανόνα, καὶ γνώμονα τῶν πρακτέων, φῶς, καὶ διδάσκαλον ὅλου τοῦ βίου ὀνομάζεσθαι προσήκει.

eventis ipsis probata, explorataque sint, vere uniuscuiusque sententias, ac voluntates declarant; & indicant, a quibusnam expectanda nobis sit gratia, beneficium, opitulatio, a quibusque horum contraria sint obventura. Hinc vero saepe, ac multis in rebus, licet invenire, qui & misericordiam impertiat, atque nobiscum una succenseat; praeterea qui nos purget, ac defendat: quae sane vitae hominum, & publice, & privatim, magno sunt adiumento. Quae cum ita sint, & ii, qui conscribunt Historias, & ii, qui in ipsis legendis versantur, non tam de rerum gestarum narratione solliciti esse debent, quam dare operam, ut ea cognoscant, vel referant, quae res

---

ne: *nullam scilicet paratiorem viam hominibus esse ad negotia feliciter transigenda, quam praeteritarum rerum scientiam*: rursusque: *verissimam disciplinam, & exercitationem esse ad gerendam Remp scientiam illam, quae ex historia percipitur: evidentissimam vero, ac solam magistram esse ad fortunae vicissitudines viriliter sustinendas, alterius incommodorum recordationem*. Ac profecto Historia multiplicium, variorumque casuum rationes, ac conversiones depingens, tamquam in tabula; quaeque inde consequuta sunt, non coniecturis, sed re ipsa, ac veritate expressa referens, diu iam multorum periculis, & animadversione explorata, veracem cognitionem suppeditat, accomodatam multiplicibus hominum fortunis, & vitae casibus; ut merito iam eamdem rerum agendarum regulam, lucem, atque magistram totius vitae nominare possimus.

ἅμα, καὶ τῶν ἐπιγινομένων τοῖς ἔργοις. Ἱστορίας γὰρ ἐὰν ἀφέλῃ τις καὶ διὰ τί, καὶ πῶς, καὶ τίνος χάριν ἐπράχθη, καὶ τὸ πραχθὲν πότερον εὔλογον ἔσχε τὸ τέλος, τὸ καταλειπόμενον αὐτῆς, ἀγώνισμα μὲν, μάθησις δὲ οὐ γίγνεται.

ε΄ Οἶμαι μὲν ἐκ τῶν γνωριζομένων τόπων οὐ μικρὰ, μεγάλα δὲ συμβάλλεσθαι πεποίηκε πρὸς ἀνάμνησιν ἡ τῶν ὀνομάτων παράθεσις· ἐπὶ δὲ τῶν ἀγνοουμένων εἰς τέλος, ὁμοίαν ἔχει τὴν δύναμιν ἡ τῶν ὀνομάτων ἐξήγησις ταῖς ἀδιανοήτοις, καὶ κρουσματικαῖς λέξεσι. Τῆς γὰρ διανοίας ἐπ᾽ οὐδὲν ἐπερειδομένης, οὔτε δυναμένης ἐφαρμόττειν τὸ λεγόμενον ἐπ᾽ οὐδὲν γνώριμον, ἀνυπότακτος, καὶ κωφὴ γίγνεται ἡ διήγησις. Β.ϛ. γ΄

ϛ΄ Καθάπερ ἐπὶ τῆς ὁράσεως εἰθίσμεθα συνεπιστρέφειν ἀεὶ τὰ πρόσωπα πρὸς τὸ κατὰ τὴν ἔνδειξιν ὑποδεικνύμενον, οὕτω καὶ τῇ διανοίᾳ χρὴ συνδιανεύειν, καὶ συρρέπειν ἐπὶ τοὺς τόπους ἀεὶ, τοὺς διὰ τοῦ λόγου συνεπιδεικνυμένους.

ζ΄ Εἴτινες πάντως ἐπιζητοῦσι (α΄) κατὰ τὸν

Τόπον,

(α΄) Ὁ Συγγραφεὺς δηλονότι, τοῦ μὴ ἀποπλανᾷν τοὺς ἐντυγχάνοντας τῆς πραγματικῆς ὑποθέσεως, παρελκόμενα

res ipſas geſtas anteceſſere, vel comitantur, vel conſequuntur. Si enim haec quiſpiam ex Hiſtoria ſuſtulerit: *qua de cauſa*: *quomodo*, *&* *quem ad finem* quidquam actum fuerit, atque utrum hoc ipſum, optima ratione, & conſilio, ad extremum uſque proceſſerit, quod reliquum eſt, recitatio quaedam potius, quam diſciplina, debet iudicari.

V. In Hiſtoria non parum, imo valde confert ad memoriam iuvandam, notorum locorum vocabula adiicere. Illorum vero locorũ, quae ad extremum uſque ignorantur, nominum explanatio eodem modo ſe habet, ac difficiles, & perobſcurae dictiones in loquendo. Etenim cum nihil ſit, quo mens niti poſſit, neque cuipiam notae rei valeat accomodare id, quod narratur, muta, atque inordinata tota narratio evadit. *Ex l. 3.*

VI. Quemadmodum in cernendo ad id, quod monſtratur, ſolemus ora convertere, ſic etiam mentis obtutu continuo ad ea loca convergere, & inclinare debemus, quae nobis in oratione oſtenduntur.

VII. Si qui narrationes rerum (1) per loca,

M

(1) Hiſtoricus videlicet, ne legentes a rerum geſtarum hiſtoria diſtraheret, quaedam minus neceſſaria, quam-

τόπον, καὶ κατὰ μέρος τῶν ἱστορουμένων ἀκούειν, ἴσως ἀγνοοῦσι παραπλήσιόν τι πάσχοντες τοῖς λίχνοις τῶν δειπνητῶν. Καὶ γὰρ ἐκεῖνοι πάντων ἀπογευόμενοι τῶν παρακειμένων, οὔτε κατὰ τὸ παρὸν οὐδενὸς ἀληθινῶς ἀπολαύουσι τῶν βρωμάτων, οὔτ᾽ εἰς τὸ μέλλον ὠφέλιμον ἐξ αὐτῶν τὴν ἀνάδοσιν, καὶ τροφὴν κομίζονται· πᾶν δὲ τοὐναντίον· οἵ τε περὶ τὴν ἀνάγνωσιν τὸ παραπλήσιον ποιοῦντες, οὔτε τῆς παραυτίκα διαγωγῆς ἀληθινῶς, οὔτε τῆς εἰς τὸ μέλλον ὠφελείας στοχάζονται δεόντως.

ή Δεῖ τὸν ἀγαθὸν κριτὴν οὐκ ἐκ τῶν παραλειπομένων δοκιμάζειν τοὺς γράφοντας, ἀλλ᾽ ἐκ τῶν λεγομένων. Κἂν μὲν ἐν τούτοις τι λαμβάνῃ ψεῦδος, εἰδέναι, διότι κἀκεῖνα παραλείπεται δι᾽ ἄγνοιαν· ἐὰν δὲ πᾶν τὸ λεγόμενον ἀληθὲς ᾖ, συγχωρεῖν, διότι κἀκεῖνα παρασιωπᾶται κατὰ κρίσιν, οὐκ ἄγνοιαν. Βιβ. ς´

θ´ Κα-

μενά τινα, κἂν μὴ πάμπαν ἀλλότρια τῆς ἱστορίας, οἷον ἰδιώματά που τῆς χώρας, ἧς πέρι λόγος ἐνέπεσεν, τάς τ᾽ ἐκεῖ μεταλλείας, καὶ τὴν γειτονοῦσαν θάλασσαν, λέγει παραλιπεῖν· τούτῳ δὲ τῷ μέρει ἁρμόζοντα μᾶλλον ἄλλοθι τόπον, καὶ καιρὸν ἀπονεμεῖν· τοῦ μὴ διεῤῥηγμένην, οὐδ᾽ ἐν παρέργῳ μνήμην αὐτῶν ποιεῖσθαι· ἐπιτιμᾷ δὲ τοῖς ἕκαστα καθ᾽ ἱστορίαν εἰς μέρη λεπτότατα διῃρημένα, καὶ ὡς τετμημένα ζητοῦσιν.

ca, atque partes ſingillatim diviſas, ac diſtributas, quaerunt audire; illud forte ignorãt, ſe ita comparatos eſſe, ut guloſi convivae. Nam & hi, cum de omnibus, quae apponuntur, aliquid deguſtent, revera nec in praeſentia fruuntur cibo aliquo, nec utilem deinceps digeſtionem, & alimoniam ex hiſce referunt: imo contrarium prorſus accidit. Ita, qui pari modo affecti ſunt in Hiſtoriis legendis, nec praeſentem fructum, nec eam, quae in poſterum debet conſequi, utilitatem ex lectione illa convenienter percipiunt.

VIII. Aequus iudex, & aeſtimator Scriptorem non ex his, quae praetermiſſa fuerint, probare, atque aeſtimare debet, ſed ex iis, quae ab ipſo referuntur: ac ſi quidquam in hiſce falſum, & ementitum compererit, iudicare debet, illa quoque propter inſcitiam, ſilentio praeterita fuiſſe. Quod ſi tota narratio verax fuerit, concedendum eſt, illa etiam non ex imperitia, ſed con-

 ſilio,

quamvis non omnino fortaſſe ab hiſtoria aliena (cuiuſmodi ſunt, regionis illius, de qua ſermo inciderat, indoles, ac qualitates, metallorum fodinae, mare propinquum) a ſeſe praetermitti affirmat: & huic parti aptiorem & locum, & tempus alias a ſe attribuendum: ne interrupte, neque obiter commemorarentur. Eos vero graviter obiurgat, qui ſingula in hiſtoriis minutatim diviſa, conciſaque quaerere conſueverunt.

θ' Καθάπερ ἐπὶ τῶν κανόνων κἂν ἐλάττων ᾖ τῷ μήκει, ἢ τῷ πλάτει ταπεινότερος, μετέχῃ δὲ τῆς τοῦ κανόνος ἰδιότητος, κανόνα φησὶν (ὁ Τίμαιος) δεῖ προσαγορεύειν οὕτως· ὅταν δὲ τῆς εὐθείας καὶ τῆς πρὸς ταύτην οἰκειότατος οὐκ ἐγγίζῃ, πάντα μᾶλλον δεῖ, ἢ κανόνα καλεῖν· τὸν αὐτὸν τρόπον καὶ τῶν συγγραμμάτων ὅσα μὲν ἢ κατὰ τὴν λέξιν, ἢ κατὰ τὸν χειρισμὸν, ἢ κατ' ἄλλό τι διαμαρτάνηται τῶν ἰδίων μερῶν, ἀντέχηται δὲ τῆς ἀληθείας, προσίεσθαι φησὶ τὸ τῆς ἱστορίας ὄνομα τὰς βίβλους· ὅταν δὲ ταύτης παραπέσῃ, μηκέτι καλεῖσθαι δεῖ ἱστορίαν. Ἐγὼ δὲ διότι μὲν ἡγεῖσθαι δεῖ τῶν τοιούτων συγγραμμάτων τὴν ἀλήθειαν (ά), ὁμολογῶ, καὶ κατὰ τὴν πραγματείαν αὐτός που κέχρημαι, λέγων οὕτως·

διὸ

(ά) Οὕτως ὁ Θουκυδίδης Ἱστορ. βιβ. ά ὀδύρεται, καὶ μέμφεται, ὅτι παρὰ πολλοῖς ἀταλαίπωρος τυγχάνει ἡ ζήτησις τῆς ἀληθείας. Αὐτὸς δὲ συμφώνως τοῖς εἰρημένοις τῷ Πολυβίῳ, συμβουλεύει, τοὺς ἐντυγχάνοντας οὔτε ὡς
„ ποιηταὶ ὑμνήκασι, περὶ τῶν παλαιῶν πραγμάτων ἐπὶ
„ τὸ μεῖζον κοσμοῦντες, πιστεύειν· οὔτε ὡς λογογράφοι
„ ξυνέθεσαν ἐπὶ τὸ προσαγογώτερον τῇ ἀκροάσει, ἢ
„ ἀληθέστερον, ὄντα ἀνεξέλεγκτα, καὶ τὰ πολλὰ ὑπὸ χρό-
„ νου αὐτῶν ἀπίστως ἐπὶ τὸ μυθῶδες ἐκνενικηκότα, ἐπι-
„ φανεστάτοις δὲ πάντα σημείοις, ὡς ἐνδέχεται, δοκι-
„ μάζειν.

filio, atque ratione esse praetermissa. *Ex l. 6.*

IX. Sicuti regulae, quamvis earum aliqua brevior sit, aut minus lata, cum tamen eaedem hoc, quod regulae proprium est, tuentur, vere regulae sunt nominandae: cum vero ipsae a perpendiculo, eiusque proprietate deflexerint, quidvis potius, quam regulae sunt appellandae, idem de historiis iudicandũ (Timaeus) affirmat. Etenim quaecumque vel modo dicendi, vel rerum tractatione, vel alia quapiam sui parte vitiosae sunt, ac mancae, eaedem tamen veritatem tuentur, asserit, iure sibi illas Historiae nomen vindicare. Cum vero ab hac deciderit quaepiam, illam non adhuc Historiam esse nominandam. Ego autẽ in scriptionibus eiusmodi veritati (1) principem locum profiteor esse tribuendum, & ipse

(1) Ita Thucydides l. 1. Hist. conqueritur, quod plerique veritatem sollicite non examinent, ac exquirant. Ipse vero in eamdem, quam Polybius protulit, sententiam lectores admonet: *non, ut poetae priscorum hominum facinora celebrarunt eadem cum ornatu amplificantes, ita suam ipsis fidem adhibere; neque ut Rhetores scripta sua elucubraverunt, aurium voluptatem magis, quam veritatem quaerentes, cum haec, quae enarrant, probari nequeant, ac eorum pleraque ob ipsam vetustatem incredibiliter fabulosa evaserint: non, inquam, istis ita fidem adhibere, sed, quibus licet, evidentissimis argumentis omnia expendere.*

διὸ καθάπερ ἐμψύχου σώματος τῶν ὄψεων ἐξαιρεθεισῶν ἀχρειοῦται τὸ ὅλον, οὕτως ἐξ ἱστορίας ἐὰν ἄρῃς τὴν ἀλήθειαν, τὸ καταλειπόμενον αὐτῆς ἀνωφελὲς γίγνεται διήγημα. Δύο μὲν τρόπους ἔφαμεν εἶναι ψεύδους· ἕνα μὲν τὸν κατ' ἄγνοιαν· ἕνα δὲ τὸν κατὰ προαίρεσιν· καὶ τούτων δεῖν τοῖς κατ' ἄγνοιαν παραπταίουσι τῆς ἀληθείας διδόναι συγγνώμην· τοῖς δὲ κατὰ προαίρεσιν, ἀκαταλλάκτως ἔχειν. Βιβ. ιβ'

ι' Τὰ μὲν ἐκ τῶν βιβλίων, δύναται πολυπραγμονεῖσθαι χωρὶς κινδύνου, καὶ κακοπαθείας, ἐάν τις αὐτῷ τοῦτο προνοηθῇ μόνον, ὥστε λαβεῖν ἢ πόλιν ἔχουσαν ὑπομνημάτων πλῆθος, ἢ βι-

βλιο-

(α') Κατὰ τοῦ Τιμαίου λόγος ἐστὶ τῷ Πολυβίῳ· ὃς ἀφεστὼς τοῦ γράψαι, ἅπερ ἰδεῖν αὐτόν, καὶ οἷσπερ ἐντυχεῖν εἰκὸς ἦν, ἐπολυπραγμόνησεν, ἃ δὴ ἀκηκοὼς ἐτύγχανεν. Ὅθεν ὁ συγγραφεὺς λέγει, ὅτι „ δυοῖν ὄντων
„ κατὰ φύσιν ὡσανεί τινων ὀργάνων ἡμῖν, οἷς πάντα
„ πυνθανόμεθα, καὶ πολυπραγμονοῦμεν, ἀκοῆς, καὶ ὁρά-
„ σεως, ἀληθινωτέρας δὲ οὔσης οὐ μικρῷ τῆς ὁράσεως
„ κατὰ τὸν Ἡράκλειτον· ὀφθαλμοὶ γὰρ ὤτων ἀκριβέστε-
„ ροι μάρτυρες, τούτων Τίμαιος τὴν ἡδίω μέν, ἥττω δὲ
„ τῶν ὤτων ὥρμησε πρὸς τὸ πολυπραγμονεῖν· τῶν μὲν
„ διὰ τῆς ὁράσεως εἰς τέλος ἀπέστη· τῶν δὲ διὰ τῆς
„ ἀκοῆς ἀντεποιήσατο.

ipſe hac in Hiſtoria uſus ſum; illud affirmans, quod, ut animali e corpore ſi oculi eximantur, totum redditur eiuſmodi, ut nulli aptum ſit uſui, non aliter, ab hiſtoria dempta veritate, quod eius ſupereſt, infructuoſa narratio evadit. Duo ſane mendacii genera eſſe diximus, unum, quo ex imprudentia, alterum, quo ex animi ſententia mentimur: & his, qui ex imprudentia a veritate aberrant, danda venia eſt: numquam vero cum illis amicitia ineunda, qui ex animi propoſito mentiuntur. *Ex l.* 12.

X. Quae ad ſcribendas Hiſtorias (1) ex librorum lectione curioſe quaeruntur, ea tuto, ac ſine improbo labore comparari poſſunt: ſi modo illud unum proviſum fuerit, ut Scriptor vel plenam monumentorum civi-

 tatem

(1) Adverſus Timaeum ſermo Polybio eſt, qui cum ab hiſce ſcribendis diſceſſiſſet, quae ipſum vidiſſe, quibuſque interfuiſſe oportebat, illa perſequutus eſt, quae ab aliis acceperat. Unde Scriptor ait: *Quod cum duo inſtrumenta nobis a natura data ſint, quibus omnia cognoſcimus, & exquirimus, nempe auditus, & viſus: ac (ut inquit Heraclitus) viſus multo ſit veracior: nam oculi multo accuratiores rerum teſtes ſunt, quam aures: Timaeus ex iſtis duobus ſenſibus illum, qui iucundior eſt; ſed minorem habet vim, ad hiſtoriam ſuam ſcribendam appulit: ab iis quidem prorſus removit ſeſe, quae cernuntur oculis, illa vero uſurpavit, quae auribus percipiuntur.*

βλιοθήκην που γειτνιῶσαν, λοιπὸν κατακείμενον ἐρευνᾶν δεῖ τὸ ζητούμενον, καὶ συγκρίνειν τὰς τῶν προγεγονότων συγγραφέων ἀγνοίας ἄνευ πάσης κακοπαθείας. Πολυπραγμοσύνη δὲ πολλῆς μὲν προσδεῖται ταλαιπωρίας, καὶ δαπάνης· μέγα δέ τι συμβάλλεται, καὶ μέγιστόν ἐστι μέρος τῆς ἱστορίας. Δῆλον δὲ τοῦτ' ἐστιν ἐξ αὐτῶν τὰς συντάξεις πραγματευομένων. Ὁ μὲν γὰρ Ἔφορός φησιν, εἰ δυνατὸν ἦν, αὐτὸν παρεῖναι πᾶσι τοῖς πράγμασι, ταύτην δὴ διαφέρειν πολὺ τῶν ἐμπειριῶν. Ὁ δὲ Θεόπομπος τοῦτον μὲν ἄριστον ἐν τοῖς πολεμικοῖς, τὸν πλείστοις κινδύνοις παρατετυχότα· τοῦτον δὲ δεινότατον ἐν λόγῳ, τὸν πλείστων μετεσχηκότα πολιτικῶν ἀγώνων· τὸν αὐτὸν τρόπον συμβαίνει ἐπὶ ἰατρικῆς, καὶ κυβερνητικῆς. Ἔτι δὲ τούτων ἐμφατικώτερον ὁ ποιητὴς εἴρηκε περὶ τούτου τοῦ μέρους. Ἐκεῖνος γὰρ βουλόμενος ὑποδεικνύειν ἡμῖν οἷον δεῖ τὸν ἄνδρα πραγματικὸν εἶναι, προθέμενος τὸ τοῦ Ὀδυσσέως πρόσωπον, λέγει πως οὕτως·

tatem aliquam ſibi delegerit, vel propinquam Bibliothecam: cum nihil aliud reſtet, quam ut ea ſtratus inveſtiget, quae inquirenda ſunt: atque inſcitiam, erroreſque ſuperiorum Scriptorum, ſine gravi labore inter ſe conferat. At vero ſtudioſa, ac ſollicita rerum ipſarum animadverſio plurimum moleſtiae, impenſaeque deſiderat: multum vero adiumenti afferre ſolet, magnamque Hiſtoriae partem conſtituit. Quod quale ſit, ex eorum, qui in conſcribendis Hiſtoriis verſantur, teſtimoniis declaratur. Ephorus quidem ait: exoptandum eſſe, ut rebus omnibus, ſiquidem fieri poſſet, Scriptores intereſſent: hanc quippe experientiam, & uſum caeteris omnibus praeſtare. Theopompus vero affirmat: illum bellicis in negotiis antecellere caeteris, qui pluribus ipſe diſcriminibus interfuerit, & illum eſſe eloquentiſsimum, qui plurimas de civilibus rebus contentiones, ac certamina adierit. Quod ipſum in medicina, & gubernandi arte contingit. Inſignius vero adhuc, & ſignificantius loquutus hac de re Poeta eſt. Volens is quippe nobis oſtendere, qualem eſſe oporteat virum in rebus gerendis exercitatum; inducens Ulyſſis perſonam, haec inquit:

Dic

Ἄνδρα μοι ἔννεπε μῦσα πολύτροπον, ὃς μάλα πολλὰ
Πλάγχθη . . . .

καὶ περβὰς

Πολλῶν δ' ἀνθρώπων ἴδεν ἄστεα, καὶ νόον ἔγνω.
Πολλὰ δ' ὅγ' ἐν πόντῳ πάθεν ἄλγεα ὃν κατὰ θυμόν.

καὶ ἔτι

Ἀνδρῶν τε πολέμους, ἀλεγεινά τε κύματα πείρων.

Δοκεῖ δέ μοι καὶ τὸ τῆς ἱστορίας πρόσχημα τοιοῦτον ἄνδρα ζητεῖν. Ὁ μὲν οὖν Πλάτων φησὶ τότε τἀνθρώπινα καλῶς ἕξειν, ὅταν ἢ οἱ φιλόσοφοι βασιλεύσωσιν, ἢ οἱ βασιλεῖς φιλοσοφήσωσι. Κἀγὼ δ' ἂν εἴποιμι, διότι τὰ τῆς ἱστορίας ἕξει τότε καλῶς, ὅταν ἢ οἱ πραγματικοὶ τῶν ἀνδρῶν γράφειν ἐπιχειρήσωσι τὰς ἱστορίας, μὴ καθάπερ νῦν, παρέργως· νομίσαντες δὲ καὶ τοῦτ' εἶναι σφίσι τῶν ἀναγκαιοτάτων, καὶ καλλίστων, ἀπερισπάστως προσέχωνται πρὸς τοῦτο τὸ μέρος κατὰ τὸν βίον· ἢ οἱ γράφειν ἐπιβαλλόμενοι, τὴν ἐξ αὐτῶν τῶν πραγμάτων ἕξιν ἀναγκαίαν ἡγήσωνται πρὸς ἱστορίαν.

ια' Τὸν μετ' αὐξήσεως λόγον ἀποδοκιμάζομεν

μεν

Virum dic mihi, Musa, versutum, qui multa admodum
Oberravit . . .

progressus vero:

Multorumque hominum urbes vidit, ac sententiam perspexit:
Multos in mari dolores perpessus est suo animo:

praeterea:

Virorumque bella, tristesque fluctus pervadens.

Mihi vero illud videtur, quod ipsa species, ac forma Historiae virum eiusmodi requirat. Plato quidem igitur asseverat, tunc humanis cum rebus praeclare actum iri, *cum aut Philosophi regnaverint, aut Reges philosophati fuerint.* Illud ego quoque affirmem: tunc Historiam bene se habituram, cum aut viri in negotiis gerendis exercitati ad illam conscribēdam se applicuerint, non, ut fieri solet hoc tempore, oscitanter, ac negligenter, sed existimantes, hoc sibi muneris cum maxime necessarium, tum pulcherrimum esse, sine intermissione diligentiam suam, & operam in eo usurpando, totius vitae spatio, collocaverint: aut vero ii, qui ad scribendum accesserint, habitum, qui ex ipso rerum usu, ac tractatione gignitur, ad Historiam elucubrandam necessarium iudicaverint.

XI. Ora-

μθμ . . . (α΄) διὰ τὸ πάσας τὰς ἐκπληκτικὰς περιπετείας μίαν ἔχειν φαντασίαν τὴν πρώτην, ἀξίαν ἐπιστάσεως, τὸ δὲ λοιπὸν οὐ μόνον ἀνω-

(1) Non aliter Clearchus Laco (ut narrat Xen. exped. Cyr. l. 2.) aiebat: *Intemperantem exercitū nulli esse usui. Quin eumdem narrabant solitum dicere: quod milites suum ducem magis, quam hostes timere oporteat: si modo illi & praesidium tueri debent, & ab amicis manus abstinere, & sine tergiversatione progredi in hostes.*

(2) Ita Scipio ipse, cum Numantini aciem saepius instruxissent, atque ad praelium eumdem provocarent, homines eiusmodi, qui & ex diuturna fame, qua afflicti fuerant, & ex assiduo rerum bellicarum usu, & consuetudine ad quandam immanitatem erant efferati, confligere recusavit; maluitque eosdem undique circumclusos fame expugnare, quam incerta praelii unius alea, de summa rerum decernere: simul & illud refugiens, ne multis ipse copiis instructus, congrederetur cum paucis:

ναις παραβαινδυνεύοντα ταῖς ἀνάγκαις (ά). Συγκρίνων δὲ ἔφη, καὶ τοὺς ἰατροὺς μὴ χρῆσθαι τομαῖς, μηδὲ καύσεσι πρὸ φαρμάκων.

έ Ἡ εὐψυχία ἀεὶ τοῦ πλείονος ἐπικρατεῖ.

ς' Ἡ ἄσκησις τοῦ γένους (β') ἐς τοσοῦτον ἀρετῇ διαφέρει. Ἐμφυλ. γ'

ζ' Μεγίστη ἐλπὶς ἐν πολέμοις, τὸ δίκαιον.

„ μὲν γὰρ τοῖς ἑαυτοῦ πολὺς ὁ κίνδυνος, νικῶσι δὲ οὐ „ μέγα τὸ ἔργον οὐδ' ἐπικερδές.

(α') Οὕτως Ὀκταούϊος ὁ Καῖσαρ (ὡς Ἀππιανὸς διηγεῖται) οὐ προπετῶς, οὐδ' εὐχερῶς, μήτε πάνυ εἰμὴ ἐξ ἀνάγκης, εἰς μάχην καθίστατο τοῖς πολεμίοις, ὥστε κινδυνεύειν περὶ ὅλων· προελόμενος τέχνῃ κρῖναι τὰ πράγματα, εἴπως ἐνεδέχετο, ἢ τόλμῃ.

(β') Ἐν τῇ παρὰ Μυτίνῃ πρὸς Ἀντώνιον μάχῃ, τροπῆς τοῦ τῶν ὑπάτων στρατεύματος γενομένης, οἱ μὲν Ἄρειοι λεγόμενοι παρὰ τὸν χάρακα ἔστησαν, εἴ τις ἐπίοι, καθορμῶντες ἐξεναντίας, καὶ ἀμυνόμενοι, καὶ τοῦτο ἕως ἀναγκαῖον ἦν· καίτοι κατάκοποι ὄντες ὑπὸ δυσχερειῶν, καὶ καμάτων. Οἱ δὲ νεήλυδες, κἂν Ἰταλιῶται ὄντες καὐτοὶ τὸ γένος ὁμοίως τοῖς Ἀρείοις, ἀτάκτως ὡσεὶ πρόβατα, συνειλοῦντο εἰς τὸ χαράκωμα, οὐδ' ἐδύναντο μένειν, καὶ ἀπωθεῖν τοὺς ἐπικειμένους· ἐπὶ τοσοῦτον διαφερούσης τοῦ γένους τῆς ἀσκήσεως.

ΕΚ

negligentiae arguebat, qui pugnam, antequam opus esset, committeret: eum vero bonum ducem esse aiebat (1), qui tunc solum certaminis periculo exercitum obiiceret, cum ipsa necessitas efflagitaret. Qua in re vel exemplo utebatur, affirmans: medicos quoque non ante secare, & urere, quam pharmaca adhibuerint.

V. Strenuitas militum, maiores semper copias vincere consuevit.

VI. Exercitatio generi tantopere (2) virtute antecellit. *Ex l. 3. de Bel. Civ.*

VII. In bellis gerendis magnam affert spem causae aequitas.

---

cis: *Iniquum quippe, ac dispar certamen illud fore, in quo victis magnum periculum proponebatur, parum vero emolumenti, & operis, si vicissent.*

(1) Haud secus Octavius Caesar non facile, nec temere, immo nonnisi impulsus necessitate ad pugnandum adducebatur; ac, ut de illo narrat Appianus, artificio malebat, si licuisset, quam audacia vincere.

(2) In eo praelio, quod prope Mutinam adversus Antonium commissum est, Consulari exercitu in fugam verso, Martia legio ex illa fuga substitit ad vallum castrorum, irruentesque in hostes impetum faciendo, propulsabat, ac in eo perstitit, quoad necesse fuit; quamvis eadem esset defessa, fractaque rerum difficultate, ac labore. Tyrones e contra, licet & ipsi genere Itali essent, sicuti Martiales, in castra, ovium more, sine ullo ordine, convolvebantur, nec stare poterant, ac hostes propulsare. *Tantum quippe* (ait App.) *generi praestat exercitatio.*

EX HE-



ΕΚ ΤΗΣ ΤΟΥ ΗΡΩΔΙΑΝΟΥ

ΙΣΤΟΡΙΑΣ ΕΚΛΕΚΤΑ

ΗΘΙΚΑ.

ά Ῥᾶστα αἱ τῶν νέων ψυχαὶ (ά) εἰς ἡδονὰς ἐξολισθαίνουσαι, ἀπὸ τῶν παιδείας καλῶν μετοχετεύονται. Βιβ. ά

β' Φύσει τὸ ἀνθρώπινον ἐλεεινὸν ἐν ταῖς τῶν ὁμοφύλων συμφοραῖς· τά τε δεινὰ ὑπ' ὄψιν πεσόντα οἶκτον προκαλεῖται μείζονα.

γ' Ἐκ τῆς ἐσχάτης εὐτελείας εἰς τὸ μέγιστον ὕψος.

(ά) Μάρκος Αὐρήλιος Ἀντωνῖνος, νοσήσας τὰ ἔσχατα, καὶ ἤδη ἀποτεθνηξόμενος, ἐν μεγάλαις ἦν φροντίσιν ὑπὲρ τοῦ Κομμόδου υἱοῦ, ὃν ὀρφανόν τ' ἀπέλειπε, καὶ ἀκμάζοντα τὴν ἡλικίαν· δεδιὼς μήποτε διαφθαρεὶς ὑφ' ἡδονῆς, τῆς τῶν νέων ψυχῆς κυριευούσῃ ὡς μάλιστα φιλέτης, τῶν καλῶν, ἐν οἷς σπουδῇ ἐτέθραπτο, ἀφελκυσθείη ἠθῶν, καὶ ἐπιτηδευμάτων· ὃ καὶ συνέβη. Καὶ γὰρ γέγονεν αἴσχιστος πάντων· ἐξολισθήσας κατὰ μικρὸν ἀθεμίστους εἰς ἡδονάς, καὶ ἐπιθυμίας.

EX HERODIANI HISTORIA
LOCA SELECTA
AD MORES PERTINENTIA.

I. IUvenum animi facillime labentes ad voluptates confectandas (1), ab optima praelaraque disciplina abducuntur. *Ex l.I.*

II. Humani casus, suapte vi, ac natura, misericordiam commovent, si quid infortunii acciderit gentilibus nostris: ipsaeque aerumnae, cum sub adspectum ceciderint, maiorem commiserationem eliciunt.

III. Ab extrema vitae conditione ad summum fastigium evehere, atque evectum rursus

(1) M. Aurelius Antoninus, extremo morbo laborans, iam iam moriturus, magnis, & gravibus pro Commodo filio curis distinebatur, qué pupillum relinquebat, eumdemque aetate florentem. Verebatur quippe, ne voluptatis illecebra corruptus, quae maxime iuvenum in animis dominari solet, ab honestis, praeclarisque studiis, in quibus sollicite fuerat educatus, abduceretur: quod & factum accidit. Revera enim omnium turpissimus evasit, sensim delabens nefastas in voluptates, & cupiditates.

ὕψος ἆραι (α'), καὶ πάλιν τὸν ἀρθέντα ῥίψαι, ὀλίγη, καὶ ἀνέλπιστος δύναται τύχης ῥοπή.

δ' Οὐ μία, οὐδ' ἡ αὐτὴ πᾶσιν ἀνθρώποις θανάτου αἰτία· διάφοροι δὲ οὖσαι εἰς ἓν τέρμα βίου συντελοῦσι. Βιβ. β'

έ Μεγάλων εὐεργεσιῶν προϋπαρχουσῶν, τὸ ἰσότιμον δυσέφικτον· ἀλλ' ἐν ταῖς ἀμοιβαῖς, καὶ μικρὰ μὲν λαβοῦσιν ἀντιδοῦναι μεῖζον, οὐχ οὕτως εὐμαρές, ὡς εὐχάριστον δοκεῖ. Ὁπηνίκα δ' ἂν ὁ πρῶτός τι δράσας ἀγαθὸν ἀνυπέρβλητον καταθῆται χάριν, τὸ μὴ κατ' ἀξίαν ἀντιδοθὲν οὐχ οὕτω δυσσεβέστερον, ὡς ἀναίσθητον, καὶ ἀχάριστον ὀνομάζεται.

ϛ' Παν-

(α') Οὕτως ὁ Κλέανδρος, ἀνήρ, ὡς ἱστορεῖ Ἡρωδιανός, Φρὺξ τὸ γένος, καὶ τῶν εἰωθότων ὑπὸ κήρυκος ἐκδοθῆναι δημοσίᾳ, παρὰ δὲ Κομμόδῳ, διὰ τὸ συναυξηθῆναι ἐκείνῳ, ἐπὶ τοσοῦτον ἐλθὼν τιμῆς, καὶ ἐξουσίας ὥστε δι' αὐτοῦ τὴν ὅλην μονονοὺ Ῥωμαίων ἀρχὴν διοικεῖσθαι, τέλος εἰς στάσιν, διὰ πλεονεξίαν αὐτοῦ, ἐκκεκαυμένου τοῦ δήμου, μεταπεμφθεὶς ἐξ ἀπροσδοκήτου παρὰ Κομμόδῳ, ἀποτέμνεται τὴν κεφαλήν· τὸ δὲ σῶμα αὐτοῦ παραδοθὲν τῷ δήμῳ, πᾶσαν ὕβριν εἰς ἄμυναν τοῦ μίσους καθυβρίζεται „ φιλοτιμουμένης (ὡς ὑποτίθησιν ὁ „ Συγγραφεὺς) τῆς ἀνθρωπίνης φύσεως ἐν ἑνὶ δεῖξαι „ ὡς βραχεῖα πάνυ δύναται τύχης ῥοπὴ τὸν αὐτὸν καὶ ἆραι „ καὶ ἠρμένον καταβαλεῖν.

ſus deprimere, parva, & inopinata fortunae inclinatio (1) poteſt.

IV. Non una, & eadem cunctis hominibus cauſa interitus eſt: cum autem diverſae ſint cauſae, ſingulae in unum, & eumdem vitae terminum collineant, ac deſinũt. *Ex l.2.*

V. Cum magna beneficia anteceſſerint, difficile par gratia referri poteſt: ſed in ea perſolvenda, cum ii, qui vel parvum aliquod beneficium acceperint, maius retulerint, id non tam facile, quam gratum ſolet videri. Cum vero quiſpiam eo nos beneficio laceſſiverit, quod gratia referenda vinci non poſſit, ſi impar fuerit perſoluta, id non tam ex rei ipſius difficultate, quam ex quodam mentis ſtupore, ingratoque animo natum dicitur.

VI. Omni

(1) Ita Cleander, vir, ut narrat Herodianus, Phrygius genere, & eorum ex numero, qui publice per praeconem venumdari ſolebant, apud Commodum (quod cum ipſo una adoleviſſet) pervenerat ad illum honoris, ac poteſtatis gradum, ut totum pene Rom. imperium ab ipſo gubernaretur. Poſtremo is, cum populus ad ſeditionem, propter eiuſdem avaritiam, concitatus fuiſſet, repente accerſitur a Commodo, & capite plectitur: eiuſdemque corpus multitudini traditum, ab eadem, ad odium ſuum explendum, omni contumelia, & iniuria afficitur: *humana natura* (ut ſubdit Scriptor) *in uno homine oſtendere affectante, quod exiguum plane fortunae momentum eumdem & efferre poſſit, & elatum deprimere.*

ϛ' Παντὶ ἀνθρώπων βίῳ ἀνάγκη (ά) τέλος ἐπιτεθῆναι.

ζ' Χρησμοὶ, καὶ ὅσα εἰς πρόγνωσιν τῶν μελλόντων σύμβολα φαίνεται (β'), ἀψευδῆ, καὶ ἀληθῆ τότε πιστεύεται, ὅταν εἰς τὴν ἀπόβασιν εὐτυχηθῇ.

ή Τοῖς δυστυχήσασιν ἔλεος, τοῖς δὲ κρατήσασι φθόνος παρακολουθεῖ· καὶ τὸ μὲν ἡττηθὲν τοῖς τοιούτοις ἀδικεῖσθαι, τὸ δὲ νικῆσαν ἀδικεῖν δοκεῖ.

θ' Εὐλο-

(α') Ταύτην τὴν γνώμην κοσμήσας, αὐξήσας τε Δημοσθένης ἐν τῷ περὶ στεφάνου λόγῳ „πέρας, φησὶν, ἅπα„σιν ἀνθρώποις ἐνὶ τοῦ βίου ὁ θάνατος· κἂν ἐν οἰκί„σκῳ τις αυτον καθείρξας τηρῇ· δεῖ δὲ τοὺς ἀγαθοὺς „ἄνδρας ἐγχειρεῖν μὲν ἅπασιν ἀεὶ τοῖς καλοῖς, τὴν „ἀγαθὴν προβαλλομένους ἐλπίδα· φέρειν δὲ, ὅ, τι ἂν „ὁ Θεὸς διδῷ, γενναίως.

(β') Οὕτως ὁ Σεβῆρος, οὗ πέρι λόγος τῷ Ἡρωδιανῷ, ἐπεὶ κατέστη βασιλεὺς τῶν Ῥωμαίων, τοῖς ἐνυπνίοις, οἷς εἶχέ ποτε, καὶ χρησμοῖς, ἀπαγγείλασιν αὐτῷ τὴν ἐσομένην εὐδαιμονίαν, καὶ τύχην, πάνυ προσέσχεν ὡς ἀληθέσιν, ὥστε καὶ τὰ αὐτῶν πολλὰ ἀναθεῖναι εἰκόσιν, ὡς θείαις βουλαῖς, καὶ χερσὶν ἀποδεξάμενος τὴν ἀρχήν· ὅπερ εἰ μὴ συμβείη, μάταια δὴ ἐκεῖνα, καὶ κοῦφα, οἷον ἐνείρατα, καὶ ὀνείρασιν ἰσοτίμους ὄντας χρησμοὺς, ἡγήσαιτο, μηδὲν ὑποπτεύσας ἐνὸν αὐτοῖς θεῖον, καὶ δαιμόνιον. Οὐκ ἄλλως οἱ κυβεύοντες, ἐνύπνια ἐκεῖνα ὡς θεῖα λογίζονται, ἅπερ καθεύδουσιν ἀριθμῶν συμπλοκὰς ἀποδείξωσιν, οἵπερ ἐκ συντυχίας τινὸς προβαίνουσι· καίτοι μυριάκις ἄλλως ἐνυπνιάσασιν οὐδὲν κέρδος ἔτυχε.

VI. Omni vitae hominum(1) finis necessario est imponendus.

VII. Oracula, ac si quae alia indicia, & ostenta fiunt ad praescientiam rerum futurarum, tunc vera, ac sincera creduntur(2), cum feliciter ea provenerint, quae denuntiarunt.

VIII. Victos misericordia consequitur, victores invidia: iamque his, *qui in iudicando ita sunt affecti*, ea pars, quae cecidit, oppressa videtur iniuria; quaeque vicerit, iniuriam importasse.

P IX. Ho-

(1) Demosthenes eamdem sententiam ornans, & amplificans in Orat. de Corona: *cunctis hominibus*, inquit, *vitae finis, mors est: quamvis se quis in cubiculo septum, conclusumque tenuerit. Bonos autem viros oportet, quidquid se praeclari obtulerit, aggredi, bene sperantes de exitu: quod vero cumque Deus dederit, hoc magno, fortique animo perferre.*

(2) Non alio modo Severus (de quo sermo Herodiano est) posteaquam Imperium est adeptus, somniis, & oraculis, quae illam sibi fortunam aliquando praenuntiasse videbantur, mentem suam advertebat, ut veris. Quin vel pleraque eorum, simulachris expressa, consecravit: ut is, qui, divino consilio, ac manu, Imperium accepisset. Quod si minus accidisset, vacua illa, & inania, ut erant somnia, & somniorum similia oracula, autumasset, nec aliquid iisdem inesse fuisset suspicatus caeleste, ac divinum. Non aliter ii, qui alea ludunt, somnia illa divina censent fuisse, quae eos numeros ostenderint, qui forte processere, licet millies somniati alias, necquicquam profecerint.

θ' Εὔλογον ὁμοῦ, καὶ ἀναγκαῖον, τὸν μέλλοντα πείσεσθαι δεινὸν, ἀμύνασθαι μᾶλλον, ἢ ὑπομεῖναι· τῇ μὲν γὰρ συμφορᾷ τοῦ πεσόντος καὶ ἀνανδρίας ψόγος παρακολουθεῖ· ὁ δὲ κρατήσας, ἅμα τῷ σεσῶσθαι, καὶ δόξαν ἀνδρείας ἀπενήνοχε (α'). Βιβ. δ'

ι' Τῶν τοιούτων (σκωμμάτων) κνίζει μάλιστα, ὅσα ἐλέγχει (β') τῶν ἁμαρτημάτων τὴν ἀλήθειαν.

ιά Φέρειν

(α') Τοιούτοις πως λόγοις, οἳ δὴ τῶν Ἑλλήνων ἐν στόμασι ἐστιμυολογοῦντο ὡς ἀληθεῖς, Ἀντωνῖνος ὁ τοῦ Σεβήρου, ἀδικώτατος ἀνὴρ, καὶ ἀδελφοκτόνος, ἐπειρᾶτο φθόνον, αὐτῷ ἐπιφερόμενον ἐκ σφαγῆς τοῦ Γέτα ἀδελφοῦ, οὗ αὐτόχειρ ἐγεγόνει, ἐκνίψαι, καὶ διαλύσαι, ὡς δίκαια, μᾶλλον δ' ἀναγκαῖα δράσας· καὶ γὰρ ἑαυτῷ προεπιβουλεῦσαι ἐκεῖνον. ὡς ἀθέμιστον δὲ, ἔνδοξον δὲ μᾶλλον, καὶ ἀναγκαῖον, βίαν χερσὶν ἀμύνεσθαι.

(β') Οὕτως Ἀντωνῖνος, ὃν εἰρήκαμεν, πολλὰ δὴ εἰς αὐτὸν ἐπισκωψάντων Ἀλεξανδρέων (ἅτε φιλοσκωμμάτων ὄντων, ὡς λέγει Ἡρωδιανὸς, καὶ φιλούντων λέγειν εὐστόχως, ὑπογραφάς τε, καὶ παιδιὰς ἀπορρίπτειν εἰς τοὺς ἄρχοντας), ἐξόχως δὲ χλευασάντων Ἀντωνῖνον, καὶ μάλ' ἀληθῶς, ὧν ἀπρεπῶς ἐπιτηδεύων, καὶ προσποιούμενος ἐφαίνετο, ἐπὶ τοσοῦτον ἐξωργίσθη ὁ ἀνὴρ, ὀργίλος ὢν ἅμα, καὶ φονικώτατος, ὥστε τὴν τῶν Ἀλεξανδρέων νεολαίαν, εἰς πεδίον τι ἐκκαλέσας, ὑπ' εὐσχήμονος ἐλπίδος, καὶ προφάσεως, διέφθειρε πᾶσαν· ὡς γὰρ ἐν δικτύῳ σαγηνεύσας αὐτὴν, καὶ περιστήσας τὴν στρατιὰν, κατέκοψεν ἐξ ἀπροσδοκήτου ὅλην· καὶ ἔτι πνέουσαν κατορύξας, καὶ συγχώσας γῇ, μέγιστον, ὡς λέγει ὁ Συγγραφεὺς, ἤγειρε ταχέως πολυάνδρειον.

IX. Honestum (1), & una necessarium est, ut is, qui perpessurus est incommodi aliquid, propulset potius, quam perferat. Etenim illius, qui ceciderit, calamitatem vel dedecus ignaviae consequitur; is autem, qui vicerit, fortitudinis famam, gloriamque, una cum salute, abstulit. *Ex l.* 4.

X. Ea dicteria vellicant maxime (2), quae vera peccata notant, ac redarguunt.

P 2 XI. Pru-

(1) Talibus sermonibus (qni magna cum specie, ac pompa ab Ethnicis iactabantur, ut veri) Antoninus, Severi filius, (vir omnium iniquissimus, qui & Getam, fratrem suum, necarat) invidiam, quae sibi creabatur ex fratris ipsius caede, eluere nitebatur, ac dissolvere: perinde atque iusta illa caedes fuisset, magis vero necessaria. Affirmabat quippe, ante sibi illum insidiatum fuisse; nefas vero non esse, quin potius gloriosum, ac necessarium, vim vi propulsare.

(2) Non alio modo Antoninus (de quo supra locuti sumus), cum Alexandrini (viri in primis studiosi cavillandi, ut narrat Herodianus, quique acute, dextreque eloqui solebant, & in Reges dicteria, ac sales proiicere), praecipue vero in ipsum Antoninum iocati fuissent, ac vere ob ea, quae affectabat, eiusdem personae minus consentanea: eo usque succensuit, homo iracundus, & caedis, ac sanguinis cupidissimus, ut universam Alexandrinorum iuventutem, quemdam in campum, ementita spe, & causa, evocatam, confertamque, deleverit. Etenim tamquam sagena inclusam, toto exercitu circumposito, ex improviso universam concidit; iubensque adhuc spirantem defodi, & obrui, undique aggesta humo, grande, perbrevi tempore (ut narrat Historicus) sepulchretum excitavit.

ια' Φέρειν τὰς συμφορὰς, καὶ τὰ προσπίπτοντα μετρίως ὑπομένειν, ἀνθρώπων ἔργον σωφρονούντων.

ιβ' Τί ὄφελος εὐγενείας, εἰ μὴ χρηστὸς, καὶ φιλάνθρωπος συνοικεῖ τρόπος; Τὰ μὲν γὰρ τῆς τύχης δῶρα καὶ τοῖς ἀναξίοις περιπίπτει· ἡ δὲ τῆς ψυχῆς ἀρετὴ ἰδίαν ἑκάστῳ δόξαν περιτίθησιν. Εὐγένεια δὲ, καὶ πλοῦτος, καὶ ὅσα τοιαῦτα, μακαρίζεται μὲν, οὐκ ἐπαινεῖται δὲ, ὡς παρ' ἄλλου δοθέντα. Ἐπιείκεια δὲ, καὶ χρηστότης ἅμα τοῦ θαυμάζεσθαι καὶ τὸν ἐπαίνων τὴν ἀναφορὰν εἰς αὐτόν τινα ἔχει τὸν κατορθοῦντα. Βιβ. ε

ιγ' Γένους ἔνδοξον ἀρχὴν αὐτὸν παρασχεῖν καὶ τοῦ ὑστέρῳ γένει ἄμεινον, ἢ κλέος προξενικὸν παραλαμβάνοντα, τρόπου φαυλότητι καταισχύναι.

ιδ' Τὰ χρήματα προελπισθέντα, μέγα δέλεαρ (α') προδοσίας.

ιε' Τὰ

(α') Οὐκ ἄλλως οἱ στρατιῶται τῶν Ῥωμαίων, οἱ τὸν Ἀντωνῖνον Ἐλαιαγάβαλον ἀποδείξαντες βασιλέα, ἀπὸ τῶν Πύργων, καὶ ἐπάλξεων τοῦ στρατοπέδου, ἐν ᾧ, κατακλείσαντες τὰς πύλας, κατεῖχον ἑαυτοὺς, πολιορκούμενοι ὑπὸ Μακρίνου στρατεύματος, χρημάτων βαλάντια ἐπιδείξαντες, εἰς ἀπόστασιν ἐξέκαυσαν, καὶ προδοσίαν τοὺς Μακρίνου

XI. Prudentium virorum eſt, aerumnas ferre, ac rerum eventus moderate tolerare.

XII. Quid adiumenti nobilitas generis cuiquam afferre poteſt, niſi bonos, & humanos mores ſui comites habeat? Fortunae quippe munera obveniūt vel indignis. Virtus autem animi propriam unicuique laudem impertit. Iamque nobilitas, & opes, idque genus alia, ob felicitatem, qua parta fuere, praedicari, non etiam laudari conſueverunt: tamquam ea bona, quae nobis tributa fuerint ab altero. At honeſtas, & bonitas cum admirationem habet in ſe, tum quādam illi laudem, qui eiuſmodi ſibi ornamenta pepererit, conciliat. *Ex l.* 5.

XIII. Glorioſi generis primordia praeſtare ex ſeſe, ac poſteris tradere multo eſt melius, quam acceptum ab aliis ſplendorem, morum pravitate, dehoneſtare.

XIV. Sperata pecunia, magnam ad prodendum illecebram habere conſuevit (1).

 XV. Eo-

(1) Haud ſecus milites Rom. ii, qui Antoninum Elaeagabalum Imperatorem ſalutaverant, obſeſſi Macrini copiis, cum e caſtrorum turribus, ac propugnaculis, in quibus ſe metu concluſos tenebāt, pecuniae marſupia oſtendiſſent, Macrini ipſius milites ſimul omnes ad defectionē, proditionēque concitarunt; itaut Iulianum Praefectū obtrun-

ιε' Τὰ τῶν εὐδαιμονεῖν δοκούντων, ἢ πλουσίων πταίσματα (α') παρὰ τῶν ὄχλων οὐ μόνον ἀμελεῖται, ἀλλά τινας τῶν κακοήθων, καὶ φαύλων ἔσθ' ὅτε καὶ εὐφραίνει, φθόνῳ τῶν κρειττόνων, καὶ εὐτυχούντων. Βιβ. ζ'

ις' Χρὴ ἄνδρας γυναῖκάς τε, καὶ σώφρονας εὔχεσθαι μὲν ὑπάρχειν (β') τὰ βέλτιστα, φέρειν τε τὰ προσπίπτοντα· τῶν μὲν γὰρ δι' ἡδονῶν προσπιπτομένων ἡ ἀπόλαυσις γλυκεῖα· τῶν δ' ἐξ ἀνάγ-

---

κρίνου στρατιώτας πανδημεί. οὓς αὐτοὺς Ἰουλιανοῦ ὑπάρχου τὴν κεφαλὴν ἀποτεμόντας, καὶ πέμψαντας τῷ Μακρίνῳ, πρὸς Ἀντωνῖνον ἀποστῆσαι πάντας, καὶ αὐτῷ συνεργῆσαι εἰς κτῆσιν ὁλόκληρον τῆς τῶν Ῥωμαίων ἀρχῆς.

(α') Ἕως οὖν δήποτε Μαξιμῖνος, βασιλεὺς τῶν Ῥωμαίων, ἅρπαξ ὢν δή, καὶ φονικὸς ἀνήρ, τοὺς πλουσίους, καὶ ὄντας ἐν ἀξιώματι ἀπεστέρει τὴν οὐσίαν, καὶ ἐνύβριζε ζημιώσας φυγαῖς, καὶ θανάτοις, τὸ πλῆθος ἦγεν ἡσυχίαν· ὡς οὐ πάνυ σφίσι διαφέροντος τοῦ πράγματος· ὂν ἀσθενεστέρων, ἀσμένως ὡς ἐπὶ πολὺ ἰδεῖν κάμνοντας, καὶ ἐκτετρυχωμένους, οὓς διὰ τὸ μέγεθος τῶν χρημάτων, καὶ ἀξίωμα τῆς τιμῆς φθονοῦσιν· ὧν τ' εὐδαιμονίαν οἷον ἐπισκιάζειν νομίζουσι ταῖς ἰδίαις τύχαις. Ἐπεὶ δ' αὐτὸς τοῖς δημοσίοις πόλεων θησαυροῖς ἐπεξέτεινε χεῖρας, μεστὰ πάντα ἐγένετο ταραχῆς, καὶ στάσεως.

(β') Ὁ Ἀλέξανδρος, υἱὸς Μαμμαίας, βασιλεὺς τῶν Ῥωμαίων, μέλλων πρὸς τὸν Ἀρταξέρξην, βασιλέα τῶν Περσῶν, ὑπερβάντα τοὺς τῶν Ῥωμαίων ἀρχῆς ὅρους, καὶ χώραν αὐτῶν κατατρέχοντα, καὶ δῃοῦντα· μᾶλλον δὲ πάσης τῆς Ἀσίας ἀρχήν, ὡς κτῆμα πατρῷον, ἑαυτῷ περι-

XV. Eorum calamitates, & offensiones, qui felices, aut opulenti homines esse videntur (1), non solum negliguntur a multitudine, sed etiam improbos quosdam, ac vilissimos aliquando delectant: idque ex illa invidia, qua in alios, se praestantiores, ac feliciores, trahuntur. *Ex l.7.*

XVI. Fortes, prudentesque viri illud inprimis exoptare debent, ut quam optimus rerum status sit: eosdem tamen oportet, quidquid inciderit, patienter tolerare (2). Ete-

 nim

obtruncarent, & eius caput mitterent ad Macrinum: quo facto, universi ad Antoninum defecerunt, & illi se adiutores praestitere ad universum Rom. Imperium obtinendum.

(1) Quoad Maximinus, Rom. Imp., vir amantissimus rapinarum, ac caedis, opulentos, & affectos honoribus viros expoliabat opibus, & eosdem vexabat, mulctando morte, aut exilio, vulgus hominum nihil se commovebat, ac si ea res nihil interesset sua. Propriū quippe tenuiorum est, lubenti saepius animo eos laborantes, & afflictos videre, quibus, propter opum multitudinem, aut dignitatis praestantiam, invident: quorumque copias privatis eorum fortunis quodammodo officere arbitrantur. At posteaquam ille in publicos Civitatum thesauros manus porrigere coepit, turbis, ac seditionibus referta erant omnia.

(2) Alexander, Mamittaeae filius, Rom. Imp., exercitum e Roma educturus, quem ageret adversus Artaxersem, Persarum Regem (is quippe fines suos transgressus, in Rom. Imperii provincias excurrebat, atque eas-

ἀνάγκης κατορθουμένων ἔνδοξος ἡ ἀνδρεία· Καὶ τὸ μὲν ἄρχειν ἀδίκων ἔργων, οὐκ εὐγνώμονα ἔχει τὴν πρόληψιν, τὸ δὲ τοὺς ὀχλοῦντας ἀποσείεσθαι, ἐκ τῆς ἀγαθῆς συνειδήσεως, ἔχει τὸ θαῤῥαλέον, καὶ ἐκ τοῦ μὴ ἀδικεῖν, ἀλλ' ἀμύνασθαι ὑπάρχει τὸ εὔελπι. Βιβ. ϛ'

ΠΟΛΙΤΙΚΑ.

ά Φιλεῖ πως τὸ ὑπήκοον, ζήλῳ τῆς τοῦ ἄρχοντος γνώμης (ά) βιοῦν. Βιβ. ά

β' Ἐρᾷ

περιποιούμενον, ἐκ Ῥώμης ἐξάγειν τὴν στρατιὰν, τούτῳ χρῆται πρὸς στρατιώτας λόγῳ, βουλόμενος ἀποδεικνῦναι τοῦ πολέμου τό τ' ἀναγκαῖον, οὗπερ ἔμελλε πολεμεῖν, καὶ τὸ δίκαιον.

(ά) Καὶ γὰρ πᾶν, ὅ, τι ἐπίσημον ἐν τοῖς βασιλεῦσίν ἐστι, φίλον, καὶ θαυμαστὸν τοῖς ἀρχομένοις γίγνεται· διὰ τὸ κοινῇ ἀγαπᾷν ἐκείνους τοὺς ἄρχοντας, καὶ ἄγασθαι τὸ αὐτοῖς ἐνὸν ἀξίωμα, καὶ πρόσχημα τιμῆς· ὅθεν καὶ ζηλωτὸν γίγνεται ἐκείνοις πᾶν, ὅτι χαρακτηρίζει τὴν τῶν βασιλέων δίαιταν. Συμφώνως τοῖς εἰρημένοις καὶ ὁ Ἰσοκράτης ἐν τῷ περὶ τοῦ βασιλεύειν λόγῳ „ φιλεῖ, „ λέγει, τὸ πλῆθος ἐν τούτοις τοῖς ἐπιτηδεύμασι τὸν „ βίον διάγειν, ἐν οἷς ἂν τοὺς ἄρχοντας τοὺς ἑαυτῶν ὁρῶ„ σι διατρίβοντας.

nim earum quidem rerum, quae cum voluptate geruntur, fructus dulcis est: in hisce vero, quae ex necessitate suscipiuntur, rite conficiendis adhibita fortitudo gloriosa esse solet: cumque non praeclari consilii, ac sententiae sit, auctores iniuriae extitisse, molestiae, & incommodi a sese propulsatio & confidentiam affert ex bona conscientia, & optimam parit spem, quod non importetur, sed repellatur iniuria. *Ex l. 6.*

LOCA AD REMP. PERTINENTIA.

I. Solent ii, qui subiiciuntur, Regum suorum sententiam aemulari, atque ad illam vitas suas componere (1). *Ex l. 1.*

II. Bar-

easdem infestabat: quin Asiae totius dominium, ut paternam possessionem, sibi arrogabat), isthac utitur erga milites oratione, qua bellum illud, quod erat suscepturus, necessarium, & aequum esse ostenderet.

(1) Quidquid enim insigne in Regibus est, charum, & admirabile accidit his, qui subiiciuntur: quippe qui universim Reges suos diligere soleant, ac honoris, dignitatisque speciem in iisdem admirari: ut ea proinde, quae in Regibus eminent, & eorum vivendi consuetudinem distinguunt, digna esse putent, quae studiose aemulentur. Hisce apta, & convenientia loquitur Isocrates in Orat. de Regno: *Solet vulgus* (inquit) *in hisce studiis vitam traducere, in quibus Reges suos versari cognoverint.*

β΄ Ἐρᾷ τὸ βάρβαρον καὶ ἐπὶ ταῖς τυχούσαις ἀφορμαῖς ῥᾷστα κινεῖσθαι.

γ΄ Οὔτε χρημάτων πλῆθος οὐδὲν αὔταρκες πρὸς τυραννίδος ἀκρασίαν, οὔτε δορυφόρων φρουρὰ ἱκανὴ ῥύεσθαι τὸν ἄρχοντα· εἰ μὴ προϋπάρχῃ ἡ τῶν ὑπηκόων εὔνοια· μάλιστα δὲ ἐκεῖνοι εἰς ἀρχῆς μῆκος ἀκινδύνως ἤλασαν (α΄), ὅσοι μὴ φόβον ἐξ ὠμότητος, πόθον δὲ τῆς αὐτῶν χρηστότητος ταῖς τῶν ἀρχομένων ψυχαῖς ἐνέσταξαν. Οὐ γὰρ οἱ ἐξ ἀνάγκης δουλεύοντες, ἀλλ' οἱ μετὰ πειθοῦς ὑπακούοντες, ἀνύποπτοι, καὶ ἔξω κολακείας προσποιήτου δρῶντές τε, καὶ πάσχοντες διατελοῦσιν· οὐδέ ποτε ἀφηνιάζουσιν, εἰ μὴ

(α΄) Ὁμοίως ὁ Κῦρος παρὰ Ξενοφῶντι Κυροπαιδ. Βιβ. ζ΄ λέγει „ εὖγε εἰδέναι δεῖ, ὅτι οὐκ ἔστιν ἄλλη φυλακὴ τοιαύτη, οἵα αὐτόν τινα καλὸν, κἀγαθὸν ὑπάρχειν· τοῦτο γὰρ δεῖ συμπαρομαρτεῖν· τῷ δ' ἀρετῆς ἐρήμῳ οὐδὲ ἄλλο καλῶς ἔχειν οὐδὲν προσήκει „· ὡσαύτως Ἰσοκράτης ἐν τῷ προειρημένῳ λόγῳ, γράφων πρὸς Νικοκλέα βασιλέα τῆς Αἰγύπτου „ φυλακὴν, φησιν, ἀσφαλεστάτην „ ἡγοῦ τοῦ σώματος εἶναι τήν τε τῶν φίλων ἀρετὴν, καὶ „ τὴν τῶν πολιτῶν εὔνοιαν, καὶ τὴν σεαυτοῦ φρόνησιν. „ Διὰ γὰρ τούτων καὶ κτᾶσθαι, καὶ διασώζειν τὰς τυραν„ νίδας μάλιστ' ἄν τις δύναιτο.

II. Barbari facillime, quavis oblata occasione, ad *bellum gerendum* commoveri consueverunt.

III. Neque opum copia ulla par est ad explendam Tyrannorum intemperantiam: nec satellitum custodia eas habet vires, ut Regis vitam tueatur, nisi eorum, qui subiiciuntur, benevolentia antecesserit. Illi vero inprimis diuturnum, ac tutum imperium obtinuerunt, qui non ex crudelitate metum, sed bonitatis suae desiderium eorum, quibus imperabant, animis instillarunt (1). Nec enim hi, qui ex necessitate serviunt, sed qui ultro parent, ab omni insidiarum suspicione remoti sunt: iidemque sine ficta assentatione, ea, quae praestanda sunt, praestant, aut illata incommoda perferunt: nec aliquando recusant impe-

(1) Similiter Cyrus apud Xenoph. Cyropaed. l. 7. haec ait: *illud nobis perspectum esse debet, nullam aliam esse talem custodiam (qua Reges vitam suam tueantur), quo modo est animi honestas, ac bonitas. Id autem est, quod vitae totius comes, ac socium esse oportet. Atque illud sane convenit, ut ei qui caret virtute, nec aliud quidquam praeclare se habeat.* Eodem modo & Isocrates in sermone, cuius antea mentionem fecimus, quemque ille scripsit ad Nicoclem, Aegypti Regem: *tutissimam*, inquit, *corporis custodiam esse putes & virtutem amicorum, & civium benevolentiam, & tui ipsius prudentiam. Per istbaec enim Regna & comparari possunt, & conservari diutissime.*

μὴ βίᾳ, καὶ ὕβρει ἐπὶ τοῦτο ἄχθωσι· χαλεπὸν δὲ μετρῆσαί τε, καὶ ὅρον ἐπιθεῖναι ἐπιθυμίαις, ὑπηρετούσης ἐξουσίας.

δ' Φύσει τὸ Βάρβαρον, φιλοχρήματον· καὶ κινδύνων καταφρονήσαντες ἢ δι' ἐπιδρομῆς, καὶ ἐφόδου τὸ χρειῶδες πρὸς τὸν βίον πορίζονται, ἢ μεγάλων μισθῶν τὴν εἰρήνην ἀντικαταλλάσσονται (α').

ε' Οὐκ ἐν τῇ καθέδρᾳ ἡ προεδρία, ἀλλ' ἐν τοῖς ἔργοις· εἴτις αὐτὴν μὴ καταισχύνῃ.

ε' Ὅσῳ τὰ γινόμενα ὡς φαῦλα μισεῖται, τοσούτῳ τὰ μέλλοντα ὡς ἀγαθὰ, μεγάλως ἐλπίζεται (β'). Καὶ τὰ μὲν δεινὰ τῶν ἔργων ἀεὶ μνημονεύεται· τὸ γὰρ λυπῆσαν δυσεξάλειπτον· τὰ δὲ χρη-

---

(β') Οὐκ ἄλλως οἱ βάρβαροι (ὡς ἱστορεῖ Ἡρωδιανὸς) Κομμόδῳ, τὴν εἰς Ῥώμην ἐπάνοδον σπεύδοντι νεανικῶς, καίτοι ἐξερεθισθέντες ὑπὸ Ῥωμαίων πολέμῳ, ῥᾷστ' ἐσπείσαντο, δελεασθέντες ὑποσχέσεσι, καὶ χρήμασιν.

(γ') Ὁ Περτίναξ διαδεξάμενος Κόμμοδον, τὸν εἰωθότα τὰς τῶν πλουσίων οὐσίας ἀφελεῖν, καὶ διαμερίσαι εἰς τοὺς στρατιώτας, καὶ μονομάχους, τούτῳ τῷ λόγῳ, τὴν αὐτοῦ ἀρχὴν, ἣν δὴ πλείοσι, καὶ λαμπραῖς τῆς συγκλήτου εὐφημίαις ἀνεδέχετο, ἐναντία φρονήσουσαν, καὶ ἐπιτηδεύσουσαν τοῖς τοῦ Κομμόδου ἐπιτετηδευμένοις, ἀπέδειξεν· ἀσφά-

imperium, nisi maior vis quaepiam, & iniuria eosdem impulerit. Difficile autem est, ut is cupiditates suas circumscribat, ac moderetur, qui ad easdem explendas potentiam administram acceperit.

IV. Barbari, suapte natura, pecuniae sunt cupidi; ac contemnentes pericula, vel incursione, atque impetu necessarias ad victum copias sibi comparant, vel magna mercede, ac pretio, pacem nundinantur.

V. Non in sella honos, ac praerogativa sedendi posita est, sed in factis: si quis nimirum locum suum, & gradum non dehonestet.

VI. Quo maiore in odio anteactae res habētur, tanto, ceu meliores, commodioresque, quae futurae sunt, inprimis sperantur ab hominibus. Ac improbe quidem facta (2) in hominum

(1) Haud secus Barbari (ut narrat Herodianus), quamvis bello lacessiti a Romanis, facili negotio cum Commodo, qui iuveniliter Romam reverti properabat, foedus pepigerunt, promissis, & pecunia illecti.

(2) Pertinax Rom. Imp. (qui Commodo successerat, solito divites patrimoniis expoliare, eaque distribuere militibus, & gladiatoribus), suum Imperium, quod pluribus, & illustribus Senatus acclamationibus excipiebat, contrariis, atque Commodus usus fuerat, studiis, institutisque usurum hac oratione declarat: tutum sibi inde Regnum futurum pollicens, subiectisque populis felix, ac

χρηστὰ ἅμα τῇ ἀπολαύσει καὶ τὴν περὶ αὐτῶν μνήμην συναναλίσκει. Ἐπεὶ μὴ ὁμοίως εὐφραίνει ἐλευθερία, ὡς λυπεῖ δουλεία, οὐδέ τις ἀδεῶς τὰ ἑαυτοῦ ἔχων ἐν χάριτος μοίρα τίθεται, τὰ ἴδια καρποῦσθαι νομίζων· ὁ δὲ τῶν οἰκείων στερηθεὶς, αἰώνιον ἔχων τὴν μνήμην τοῦ λελυπηκότος, οὐδ' εἴ τις εἰς τὸ κοινὸν χρηστὴ γένοιτο μεταβολὴ, αὐτός τέ τι πλέον νομίζοι καρποῦσθαι. ἐπεὶ τοῦ μὲν δημωφελοῦς, καὶ κοινῇ διαφέροντος ὀλίγη τοῖς καθ' ἕνα φροντίς· τὸ δὲ καθ' αὑτὸν ἕκαστος, εἰ μὴ κατὰ γνώμην προχωροίη, οὐδέν τι μέγα ὠφελεῖσθαι νομίζει· οἵ τε εἰθισμένοι ταῖς τῆς τυραννίδος ἀκρίτοις, καὶ ἀφειδέσι μεγαλοδωρεαῖς ἐντρυφᾷν, τὴν εἰς τὸ σωφρονέστερον, καὶ μεμετρημένον

ἀσφάλειαν θ' αὐτῷ, καὶ τοῖς λαοῖς εὐδαιμονίαν ἐκεῖθεν ἐσομένην ὑποσχόμενος. Καλῶς δὲ κἀκεῖνο ἀποσημαίνει, οὐδὲν ταῖς πολιτείαις ἐναντιώτερον εἶναι, ἢ τὸ ἀφελεῖν τὰς οὐσίας τοὺς ἀρχομένους, οὐδενὶ ἐγκλήματι ὑπευθύνους ὄντας. Πρὸς γὰρ τῷ τυραννικὸν τοῦτο μᾶλλον, ἢ βασιλικὸν εἶναι, προσουδὲν ἰσχύει ἄλλο, ἢ κατασκευάσαι ἐχθροὺς ὑπούλους, ἐπιβουλεύοντας τοῖς καιροῖς. Οὐδὲν γὰρ λυπεῖ μᾶλλον τοὺς ἀνθρώπους, ἢ τὰ οἰκεῖα ἕκαστον ἀτυχήματα, καὶ ὕβρεις· μηδένα λόγον ποιουμένους σχεδὸν τῶν δημοσίων, εἴτε γέγονε, κατορθωμάτων. Ὅθεν καίτοι ἡσυχάσωσιν ἐν τῷ παρόντι, κρατηθέντες μείζονι βίᾳ, καὶ δυνάμει, ἐὰν ῥῆγμά τι πως, καὶ πταῖσμα γένηται, τὸ μῖσος αὐτῶν, καὶ ἔχθρα ἐξορμᾶται, καὶ ἐκλάμπει.

minum recordatione versantur assidue. Quidquid enim dolorem inussit aliquando, aegre e memoria deletur: e contra rerum commodarum memoria, una cum usura ipsa, ac fructu, excidit, & extinguitur. Nec enim pari modo delectat libertas, ac pungit servitus: neque quisquam habet in loco beneficii, quod ipse rem suam secure possideat; cum propriis bonis se frui arbitretur. Qui vero domesticis opibus exspoliatus fuerit, sempiternam in illum memoriam tuetur, qui eum sibi dolorem inflixit: nec si quaepiam rei publicae in meliorem partem conversio facta fuerit, inde plus emolumenti ad se accedere arbitratur: quoniam popularis, communisque utilitatis cura parum singulos tangit: ac nisi id, quod privatim ad singulos pertinet, ex sen-

ac tranquillum. Pulchre autem vel illud significat: nihil rebus publicis infestius esse, quam fortunis suis cives eos expoliare, qui nulli crimini sunt obnoxii. Nam, praeterquam quod id Tyrannicum magis, quam regium est, ad hoc solum illud valet, ut occultos inimicos praeparet, qui temporibus insidientur. Nihil enim est, quod magis urat homines, quam propriae unumquemque calamitates, & iniuriae: cum ipsi quidem publicae utilitatis, & commodi, si quod factum est, nullam fere rationem ducant. Unde etsi in praesentia quiescant, ac taceant, superiore vi, potentiaque coerciti, si iactura, & offensio quaepiam inciderit, odium ipsorum, & inimicitia erumpit confestim, atque apparet.

μένον διὰ σπάνιν χρημάτων μεταβολὴν οὐ φιλοσώφρονα, οὐδὲ σύμμετρον, καὶ κεκριμένην διοίκησιν ὀνομάζουσιν, ἀλλὰ μικρολογίαν, καὶ ἀθλιώτητα βίου ὀνειδίζουσιν· οὐκ εἰδότες, ὅτι μὲν μεγάλα, καὶ ὡς ἔτυχε, χαρίζεσθαι οὐκ ἂν περιγένοιτο, εἰ μὴ ἐκ τοῦ ἁρπάζειν, καὶ βιάζεσθαι· τὸ δὲ λογισμῷ πάντα, καὶ κατ' ἀξίαν ἑκάστου νέμειν ἄνευ τοῦ δεινόν τι δρᾶσαι, μὴ παρέχον ἄδικον εὐπορίαν χρημάτων, διδάσκει φειδὼ σώφρονα τῶν καλῶς πορισθέντων. Βιβ. β'

η' Οἱ μὲν (πατρῴαν ἔχοντες τὴν βασιλείαν) ὥσπερ ὄφλημα κληρονομίας εἰληφότες (α'), ἀπο-

χρῶν-

(α') Μακρῖνος, Βασιλεὺς ἀποδειχθεὶς τῶν Ῥωμαίων, οὐκ ὢν γένους βασιλικοῦ, διάδοχος δὲ τοῦ Ἀντωνίνου, ἀνδρὸς συγγενεστάτου, αὐτοῦ δὲ μέγιστα ἐνυβρίσαντος τῇ τῶν Ῥωμαίων ἀρχῇ, ἐπιστείλας τῷ δήμῳ, καὶ τῇ συγκλήτῳ, τοῖς

δε

ſententia provenerit, non multum ex illa ſe adiutos fuiſſe putant. At iam illi, qui ex profuſa, ac temeraria Tyrannorum liberalitate, aſſueverunt diffluere copiis omnibus, factam ob Aerarii inopiam, rerum mutationem, ad maiorem temperantiam, moderationemque omnia revocantem, non illam continentiae ſtudioſam, & Reip. conſentaneam, ac prudentem adminiſtrationem nominant, ſed tamquã anguſtiam animi, ac miſeriam, aerumnamque vitae, exprobrant, & obiiciunt. In quo illud ignorant, haud licere diutius magna, eaque inconſiderate largiri, niſi aliena rapiãtur, & auferantur per vim. Cum e contra largitio illa, quae ratione fit, ac cuique, quod aequum eſt, impertit, quin mali aliquid cuiquam importet, iniuſtam divitiarum copiam minime ſuppeditando, moderatam, ac temperantem in his, quae ſuppeditatae fuerint, adhibendis parſimoniam edoceat. *Ex l.* 2.

VIII. Ii, qui regnum a maioribus ſuis acceperunt (1), cum illo, tamquam debita ſibi

Q hae-

(1) Macrinus, cum Rom. Imperator ſalutatus fuiſſet a militibus, neque is eſſet e regia familia, ac ſtirpe, ſuccederet autem Antonino, viro nobiliſſimo (qui tamen multa probroſe, contumelioſeque in Imperium admiſerat)

χρῶνταί τε, καὶ ἐνυβρίζουσιν ὡς ἄνωθεν ἰδίῳ κτήματι· οἱ δὲ (οὐκ εἰληφότες ἐκ πατρῴας διαδοχῆς) χάριτός τ' ἀϊδίου εἰσὶ χρεῶσται, καὶ πειρῶνται ἀμείψασθαι τοὺς εὐεργεσίας προειληφότας. Καὶ τῶν μὲν εὐπατριδῶν βασιλέων τὸ εὐγενὲς εἰς ὑπεροψίαν ἐκπίπτει, καταφρονήσει τῶν ὑπηκόων, ὡς πολὺ ἐλαττόνων· οἱ δ' ἐκ μετρίων πράξεων εἰς τοῦτο ἐλθόντες περιέπουσιν αὐτὸ, ὡς καμάτῳ κτηθέν· αἰδῶ τε, καὶ τιμὴν ἀπονέμουσιν, ἣν εἰώθεσαν τοῖς ποτε κρείττοσι. Βιβ. έ

θ' Πάντες ὄχλοι κοῦφοι πρὸς τὰ καινοτομούμενα. Βιβ. ζ'

ΣΤΡΑΤΙΩΤΙΚΑ.

ά Τὸν πόλεμον ἀτελῆ καταλιπεῖν, μετὰ τοῦ ἀπρεποῦς καὶ ἐπισφαλές. Βιβ. ά

β' Δόκι-

δὲ ὑπὲρ ἑαυτοῦ, ὡς ἐκ γένους ὄντος ἀμαυροτέρου, ἀπολογεῖται.

haereditate potiri sint, ita eodem ad scelus, & iniuriam, ut propria, suaque iampridem possessione, abutuntur. Qui autem non paterna ex successione Imperium adepti sunt, iis sempiternam debent gratiam, qui auctores beneficii extiterunt, conanturque parem aliquando referre. Ac sane Imperatores ii, qui patritio sunt genere, ac nobilitate praestant, in superbiam delabuntur, ex eorum despicientia, ac contemptu, qui sibi subiiciuntur; quosque multo se inferiores putant. Qui vero ad illum gradum, rebus moderate, temperanterque gestis, pervenerint, tamquam partum sibi labore munus sollicite curant: & his, qui sibi antea honore antecellebant, eamdem, quam solebant tunc, reverentiam, & honorem impendunt. *Ex l.5.*

IX. Multitudo omnis levis est, ac facilis ad nova molienda. *Ex l.7.*

LOCA AD MILITIAM PERTINENTIA.

I. BEllum infectum relinquere cum indecorum est, tum periculi plenum. *Ex lib. 1.*

 II. Non

rat) missis ad populum, ac Senatum litteris, generis sui obscuritatem tali sermone obtendere conatur.

ϛκδ' ΣΤΡΑΤΙΩΤΙΚΑ.

β' Δόκιμον στρατιωτῶν, κάματος (ά), ἀλλ' οὐ τρυφή. Βιβ. β'

γ' Πολλάκις καὶ οἱ ὀλίγοι πλειόνων περιεγένοντο, καὶ δοκοῦντες ἀσθενέστεροι καθεῖλον πολλοὺς, τοῦ ἐν ὑπολήψει ἀνδρείας μείζονος.

(α') Καλῶς ὁ Εὐριπίδης ἐν τῇ τραγῳδίᾳ τῇ Κρῆσσαι, λέγει „ πόνος, ὥς λέγουσιν, εὐκλείας πατήρ.

ΤΕΛΟΣ.

II. Non deliciae, sed labor milites probat (1), & commendat. *Ex l. 2.*

III. Parvae saepe copiae illas vicerunt, quae numero antecellebant: quique imbecilliores esse videbantur, multos sustulere, qui maioris fortitudinis opinione praestabant.

---

(1) Pulchre Euripides in Tragoedia Creten.: *Labor* (inquit) *gloriae parens est*.

FINIS.

KATA-

ΚΑΤΑΛΟΓΟΣ

τῶν πραγμάτων, καὶ ὀνομάτων.

Κροῖ-

ὠφε-

Χρόνον, οὐ μόνον τὸν παρόντα, ἀλλὰ καὶ τὸν μέλλοντα προνοεῖν χρὴ τοὺς ἐπιστατοῦντας πραγμάτων. κθ'

IMPRIMATUR,

Si videbitur Revmo Patri Magiſtro Sacri Palatii Apoſtolici.

F. A. Marcucci Patriarcha Constantinop., Episc. Montis Alti, ac Vicesgerens.

IMPRIMATUR.

Fr. Thomas Maria Mamachi Ord. Praedicatorum, Sac. Pal. Apoſtolici Magiſter.

INDEX

INDEX

rerum, ac nominum.

 tuto

Gra-

Hono-

Mala

Phi-

Prin-

Veri-



Τὰ σφάλματα οὕτως ἐπανόρθωσον.

Φύλλ. ε΄. γραμμῇ β΄ κλύδοσι. γράψαι: κλύδωσι. ιγ΄. ιά. οὐχ ἴσχει. γράψ. οὐκ ἴσχει. ιϛ΄. ιε. ὀλίγους γράψ. ὀλίγας. ιη. ιε. ἠδικόσιν. γράψ. ἠδικηκόσιν. κε. κθ΄. Ἴονη. γράψ. Ἴων. κη. ιά. ἀπωλελοκότες. γράψ. ἀπολωλεκότες. κθ΄. κγ΄. ἡ Λυβία. γράψ. ἡ Λιβύα. λδ΄. ζ΄. παρολιγορεοῦσιν. γράψ. παρολιγωρεοῦσιν. λε. δ΄. ἐνεκωμίαζεν. πρόσθες. εἰρήνην. λε. η. ὁμοιώτατον. γράψ. ὁμοιότατον. λζ΄. κά. θεμένης. γράψ. θεμένην. μζ΄. γ΄. ὑδροπικῶν. γράψ. ὑδρωπικῶν. μζ΄. ιθ΄. πολέμιος. γράψ. πολέμοις. νϛ΄. ιβ΄. Δοδόνη. γράψ. Δωδώνη. νζ΄. κγ΄. πᾶσαι δὲ. γράψ. πόσαι δὲ. οδ΄. κη. οὐκ ἔτι τοῦτο ἄνευ. πρόσθες. σωφροσύνης, οὐδ᾽ ἄνευ ἐγκρατείας, οὐδ᾽ ἄνευ. ϱζ΄. ιζ΄ ἀνδρώπεια. γράψ. ἀνθρώπεια.

Τὰς δὲ δασύτητας, καὶ ψιλότητας ἑκάστοτε παρημελημένας ὁ ἐντυχὼν ἐπανορθωσάτω.

Erra-

Errata sic corrige.

Pag. 9. *lin.* 12. vetustiffimi *corrige* vetustissimi. 12. 12. a periculo *scribe* a damni periculo. 13. 28. Lybiae *scribe* Libyae. 24. 17. oppugnent *adde* aliquando. 42. 13. curiositate *adde* ac supervacaneo ornatu. 44. 7. praeclare gerendas *scribe* praeclare, ac feliciter gerendas. 44. 19. Publium, & Caium *supple* Scipiones, P.Scip.Afr. patrem, & patruum. 51. 25. Lybico *scribe* Libyco. 74. 22. Babilonico *scribe* Babylonico. 103. 20. quid *scribe* quod. 103. 27. suscipemur *scribe* suspicemur. 106. 16. omnino minora *scribe* forte minora.

Item *pag.* 16., & 86. pro Antiocho, Rege Maced. *lege* Antigonum. *&* *pag.* 19. *ubi legitur*: eius, qui Antiochi filius fuit: *lege* eius, qui Antigoni successor, & Demetrii filius fuit..



